IV 3

# AESCHINIS

# ORATIONES.

RECENSUIT

ANDREAS WEIDNER.

K. K.
GYMNASIALBIBLIOTHEK
FREISTADT.

BEROLINI
APUD WEIDMANNOS.
MDCCCLXXII.

p. 511.

MONACENSI

LITTERARUM UNIVERSITATI

CUM OMNIS SCIENTIAE TUM PHILOLOGIAE
IN BAVARIA PARENTI

# QUATTUOR SAECULORUM FELICITATEM

CONGRATULATUR

**ANDREAS WEIDNER**
SEMINARII PHILOLOGICI OLIM SODALIS.

PHILOLOGIS

MONACENSIS UNIVERSITATIS IIIIVIRIS

F. THIERSCHIO L. SPENGELIO C. HALMIO
GU. CHRISTIO

LAUDES GRATESQUE AGIT

LAETUS LUBENS
A. W.

# PRAEFATIO.

Novam Aeschinis editionem numquam in animum induxissem instituere, nisi recensionem emendationemque prorsus novam me commendare ac probare et posse et debere putarem. Nam illud quidem nemo intellegentium est quin facile concedat, Aeschinis orationes ab rhetoribus et grammaticis veteribus multum ac diu in scholis tractatas omni vitiorum genere depravatas etiam nunc quasi in sordibus iacere. Hanc autem varietatem vitiorum, quae diuturnitate temporis in dies latius serpserunt, tantum abest ut novorum codicum auxiliis inventisque corrigere liceat, ut archetypum etiam librum, ex quo uno fonte omnes adhuc noti nobis libri derivati videntur, si fors in lucem ederet, multo maior tamen vitiorum pars relinqueretur. Adeo illa priscae vetustatis depravatio inveteravit. Nec vero mihi, quantumvis circumspexerim, nova ut emendationis adminicula pararem, fortuna favebat. Nam quocumque ego converteram animum et preces, aut superbis aut surdis aut obliviosis auribus occurrebam. Nimirum obscurorum voluntatibus studiisque magistrorum clarissimi videlicet et amplissimi homines, qui in alto vitam degunt, obsequi et favere dedignantur. Quare unum mihi relinquebatur auxilium in propria ingenii sollertia positum. Et multum anquirendo contemplandoque inveni tandem novam emendandi viam, qua de re ego pluribus Lipsiensis Ctesiphonteae editionis Prolegomenis disserui. Huius rationis novitatem sicuti multi credo tamquam temeritatem et audaciam detestabuntur sic alii viri sapientes et intellegentes laetis ac lubentibus animis probaverunt. Sed

nimirum res ardua et dubia admodum est. At nisi veritatem ipsam consequare, tamen quam proxime ad eam accedere iuvat, quam rem nec timiditate et cunctatione nec desperatione et inertia consequi licet, sed sollertia et alacritate ingenii opus est. Quare quod in Ctesiphonteae emendatione nuper temptaveram, idem mihi in reliquis orationibus fortiter audendum videbatur. Quoniam autem Ctesiphonteae et Timarcheae qualis critica ratio esset, satis nuper explicavi, restat ut de alterius orationis emendatione brevi dicam.

Haec igitur de falsa legatione oratio tametsi in eisdem quibus Ctesiphontea libris mscr. continetur, paulum tamen critica ratio diversa est. Nam qui codices in illa oratione primum dignitatis locum obtinent (= *ekl*), eorum memoria in hac oratione multo minus integra et incorrupta est, non quo maiore additamentorum numero eos depravatos esse existimem, sed scribendi errorum plenissimi sunt, veluti § 182, ubi legitur pro *ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις* in *kl*: *ὁ τῆς ἀναιδείας ψηφίσεις*, § 176, ubi pro *προστάντων τοῦ δήμου* propagatur in *ekls*: *πρὸς τὰ τούτων δι᾽ ἡμῶν.* Cf. p. 77, 17; 98, 13; 102, 3; 106, 8; 106, 24; 109, 22; 113, 8 etc. Huiuscemodi errores sub finem maxime orationis frequentes — scriptura codicis *k* hac parte omnium maxime lacera est — hoc quasi clara voce testimonium dicunt: illos quidem homines, qui hos libros scripserint, et ignaros fuisse linguae Graecae et ab omni correctione prudenter se abstinuisse. Etenim eiusmodi vitiorum longe maxima pars iam in archetypo libro fuerat. Exempli gratia afferam § 182, ub in *ekl* traditur: *δέδοται τὸ σῶμα τῷ εὐεργέτῃ*, in *aghmsv Vat. Laur.*: *δέδοται τὸ σῶμα τῷ κινδύνῳ εὐεργέτῃ*, in ceteris libris: *δέδοται τὸ σῶμα τῷ κινδύνῳ.* Qua ex varietate in archetypo ipso fuisse apparet:

*γρ. κινδύνῳ*
*τῷ εὐεργέτῃ.* Quid igitur? An vocem istam obscuram ad alterum nomen *κινδύνῳ* explicandae et inlustrandae sententiae causa additam fuisse putabimus? Hoc ne cogitari quidem potest. Immo ex vetusto quodam libro usque in archetypum nostrorum codicum propagatum fuit *τῷ εὐεργέτῃ*, quod nomen



prorsus obscurum grammatici conmutandum putarunt cum aperto illo vocabulo *τῷ κινδύνῳ.* Nos iam si coniecturam mittere volemus, eam non ad hoc additamentum, sed ad vestigium illud involutae integritatis adconmodare debebimus. Probabile autem est Aeschinem et dixisse et scripsisse: *δέδοται τὸ σῶμα τῇ ὑμετέρᾳ ψήφῳ*, aut etiam *τῇ ὑμετέρᾳ γνώμῃ.* Audacissima sane coniectura, sed quae a traditae scripturae fide haud multo magis recedat quam illud *ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις* ab illo *ὁ τῆς ἀναιδείας ψηφίσεις.* Nec tamen hoc similibusve locis semper vulgatam mutare ausus, ne verborum memoriam nimis incertam et vacillantem redderem, in tantis tenebris interpolatam scripturam saepenumero intactam putavi relinquendam.

Ex uno autem archetypo tamquam rivulos omnes libros manasse, apparet primum ex communi vitiorum ratione, cf. p. 98, 23; 111, 24; 112, 15; 115, 21; 124, 1, tum ex communione additamentorum, cf. p. 69, 16; 71, 1; 71, 2; 74, 1; 74, 4; 75, 13; 75, 16; 75, 18; 77, 15; 77, 18; 78, 3; 78, 15; 78, 21; 79, 7; 80, 11; 81, 6; 81, 14; 82, 5; 83, 4; 83, 6; 83, 17; 84, 3; 84, 21; 87, 10; 89, 22; 90, 1; 92, 20; 93, 12; 93, 20; 95, 1; 95, 6; 97, 20; 98, 5; 98, 12; 107, 12; 112, 23; 115, 13; 116, 25; 118, 24; 119, 14; 122, 18. Atque ista additamenta non in ludibrio quodam aut in temeritate grammaticorum causam habent, sed ad varia interpretandi studia revocanda videntur. Cum autem ex uno archetypo duo genera librorum (*A* et *B*) manarent, ex quibus posthac tertium vel mixtum genus (= *M*) conflatum est, factum est, ut additamenta illa in diversa genera librorum serperent diversis locis. Multo tamen simpliciore doctrina fuit ille qui recensionem *A* confecit, quam is qui alterius recensionis (= *B*) auctor est, veluti § 30: *οὐκ ὤκνουν κατ᾽ αὐτοῦ λέγειν ἐπιτιμῶν ὅτι κτλ.*, ubi in archetypo supra *αὐτοῦ* superscriptum fuerat *φιλίππου*, unde pervenit in *A*: *οὐκ ὤκνουν κατ᾽ αὐτοῦ λέγειν φιλίππου ἐπιτιμῶν ὅτι*, quod traditum est altiorem sapit doctrinam: *οὐκ ὤκνουν κατ᾽ αὐτοῦ λέγειν φιλίππῳ ἐπιτιμῶν ὅτι κτλ.* at vero in *B* Similiterque § 122 in *B* est: *παρακληθεὶς ὑπ᾽ ἐμοῦ μετὰ τῶν ἄλλων*

*συμπρέσβεων καὶ διερωτώμενος εἰ τἀληθῆ καὶ ταῦτα ἀπαγγέλλω*, at in *A* tantummodo *διερωτώμενος* sine *καὶ* reperitur, unde facile colligitur hoc verbum adiectum esse, quo interrogativae particulae *εἰ* natura et ratio explicaretur. Quodsi § 146 ad recensionis *B* fidem invenitur: *ἵν᾽ εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας, ἃς οἴκοι καταλιπὼν εἰς Μακεδονίαν ἐπρέσβευσα*, quis tandem est, qui veritatem et integritatem huius sententiae addubitet? Nec vero quisquam adhuc addubitavit. Sed cum illud consideratur, in altero eoque simplicissimo librorum genere (*A*) pro *εἰς Μακεδονίαν* contra grammaticam rationem scriptum exstare *ἐν Μακεδονίᾳ*, ilico suspicari debemus ista verba non ab ipso oratore relicta sed a grammatico quodam explicandi studio addita esse.

Atque etiam in rerum grammaticarum genere multa conservata sunt in recensione *A*, quae nullam depravationis suspicionem admittant, veluti § 6: *δικαίως ἂν ὑπολαμβάνω σώζεσθαι* pro *σωθήσεσθαι* in *BM*, § 11: *οὕτω γὰρ μάλιστα μεμνήσομαι*, pro *οὕτω γὰρ ἂν κτλ.* in *BM*, § 22: *ἃς οὐδ᾽ ἂν κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο*, pro *ἃς οὐδὲ κατὰ τῶν κτλ.*, § 31: *καὶ πάντων ὧν εἴποιμι μάρτυρας παρειχόμην*, pro *πάντων ὧν ἂν εἴποιμι κτλ.* in *BM*, § 132: *πρὶν* in *AM*, pro *πρὶν ἢ* in *B*, quae formula cum ceteris Atticis aliena tum in Aeschinis orationibus nusquam tuta est, § 9 *ἀπηλλοτριωκέναι δ᾽ ὑμῶν* convenit Atticorum consuetudini, quod in *BM* invenitur *ἀφ᾽ ὑμῶν* Atticistarum regulae repugnat. Illud etiam memorabile est, quod solummodo in *A* pluribus locis nativum asyndeton conservatum est, veluti § 165: *τοῖς καιροῖς συμπεριφέρεσθαι ἀνάγκη πρὸς τὸ κράτιστον καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν*, pro *τοῖς γὰρ καιροῖς κτλ.*, § 166: *οὐ γὰρ δὴ τῇ γ᾽ ἀληθείᾳ· οὐ προσδέχεται δίκαιος ἔρως πονηρίαν*, pro *οὐ γὰρ προσδέχεται.*

Denique satis magnus est eorum numerus locorum, quibus aut verior aut probabilior lectio servata est in *A*, cf. p. 69, 12. 18; 70, 24; 73, 2. 9. 13; 76, 5; 77, 9. 22; 78, 20; 79, 13; 85, 18; 86, 12; 93, 15; 101, 20; 106, 22; 110, 29; 113, 18; 117, 14.



Utrumque genus (*A* et *B*) suis ac propriis utitur emblematis, veluti *A* p. 73, 20. 25, *B* 74, 13. 14; 76, 23; 84, 26; 110, 8; 116, 5; 119, 15; 125, 22; 126, 6. 11.

Quae cum ita sint, ego sic existimo: cum tria genera codicum habeantur (*ABM*), omnium primum circumspiciendum esse quid ex *A* quid ex vestigiis huius recensionis lucrari possimus, deinde his lectionibus cum *B* conparatis si quid ex *B* emendatum reperiatur pro vitioso *A*, hoc reponendum esse, at si quid ex *A* et *B* parum probabilitatis speciem habeat, coniectura et contentione esse assequendam priscam archetypi lectionem, raro descendendum esse ad *M*, quibus in libris si aliquid speciosum aut verum inveniatur, hoc certe coniecturis veterum grammaticorum debetur, cf. p. 75, 7. 18; 77, 7; 81, 24; 89, 3; 100, 16; 116, 2; 125, 15. Ac si quis meam operam recognoverit, multa ita emendabit, ut pressius etiam sequatur vestigia recensionis *A*.

Ceterum archetypi ratio ut facilius pernosceretur, inutilem molem vel librorum vel lectionum abiciendam curavi, *A* et *B* proprietatem plenam enotavi.

Codex *i* propinquus ille quidem est familiae *A*, sed permulta tamen propria habet. Cui libro non tantum tribuendum esse, quantum tribuerit Bekkerus, demonstrare conatus est C. Scheibe *Observ. in Oratores Atticos. Halis Sax. 1836* p. 10—13. Hac sententia tam diu acquiescere debemus quam diu accuratiore huius libri conlatione caremus.

Restat ut gratias iis agam qui de Aeschinis emendatione optime meriti sunt. Quo in numero primum locum obtinet H. Wolf, H. Stephanus, Marklandus, Taylor, Reiske, Dobree, Bekker, Baiter, Sauppe, Franke, Cobet, Bake, Hamaker, deinde G. A. Hirschig, Herwerden, Westermann, Spengel, Scheibe, denique E. Rosenberg (Jahn. Ann. 1870 p. 529—235), Dahms (Jahn. Ann. 1866 p. 221—225), Hillebrand, Expl. et Emend. Aesch. Weilb. 1868, Rohdewald Progr. Burgsteinfurt 1867, A. Schaefer (Jahn. Ann. 1866 p. 26—29), F. Schultz (Jahn. Ann. 1866 p. 289—315). Postremo honoris causa conmemoro H. Usenerum qui cum nuper in Mus. Rhen. ad Aeschinis emendationem

aliquantum contulisset, nuper etiam per litteras egregias aliquot emendationes et suas et discipuli sui De Boorii mecum communicavit. Hirschigii libello uti mihi licuit ab initio alterius orationis. Quare ex Timarchea subiciam si quid probabiliter mihi excogitatum videatur. Hirschigius igitur mecum delevit § 5 *σώματα καὶ τὴν πολιτείαν*, retinet autem *τυράννων καὶ ὀλιγαρχικῶν*, § 18 commendavit Cobeti coniecturam *διορίζεσθαι* pro *διαλογίζεσθαι*, § 19 eiecit *μηδὲ συκοφαντείτω μισθωθείς*, § 190 coniecit *ἐκ τῶν τοιούτων τρόπων*, cf. III 136, reliqua commemorari nihil attinet. Herwerden in libro suo p. 62 ad Aesch. § 152 proposuit; *οὐ πώποθ' ἱστόρησα*. Denique memoratu dignum est quod Linder Philol. XX 127 proposuit *προκαλεσάμενος*.

Epistulas quantum potui emendavi, operam etiam dederam ut Guelferbytanum codicem nanctus firmiora fundamenta sternerem, sed preces meae ventis traditae evanuerunt.

Argumenta vitasque, ut ipsarum orationum emendationi spatium pararem, sine ulla iactura omittere me posse putavi.

Denique opto non ut benevoli mihi obveniant iudices, sed ut iuventutis ingenia mea opera ac labore ad nova studia atque inventa acuantur.

Scrib. Magdeburgi Aprili mense a. CIϽIϽCCCLXXII.

**A. W.**

---

# I

# ΑΙΣΧΙΝΟΥ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ

Conpendia:

A = Codices df Bekkeri.
B = Codices abm Bekkeri.
C = Codices dfabm.
x = Ceteri codices.
M = Ceteri codices vel Bekkeri vel Schultzii aut omnes aut plerique.
F = Franke.
Bkk. = Bekker.
R = Reiske.
D = Dobree.
Tur. = Turicenses.
S = Sauppe.
H = Hamaker.
Co. = Cobet.
W = Weidner.

## *ΑΙΣΧΙΝΟΥ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.*

*Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ ἄνδρες Ἀθηναῖοι,
οὔτε γραφὴν γραψάμενος οὔτ᾽ ἐν εὐθύναις λυπήσας, ἀλλ᾽
ὡς ἔγωγε νομίζω μέτριον ἐμαυτὸν πρὸς ἕκαστα τούτων
παρεσχηκώς, ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλαπτομένην
ὑπὸ Τιμάρχου τουτουὶ δημηγοροῦντος παρὰ τοὺς νόμους
καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος (ὃν δὲ τρόπον, προϊόν-
τος ἐπιδείξω τοῦ λόγου) ἕν τι τῶν αἰσχίστων ἡγησάμην* 2
*εἶναι μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις
καὶ ὑμῖν καὶ ἐμαυτῷ· εἰδὼς δ᾽ αὐτὸν ἔνοχον ὄντα οἷς
ὀλίγῳ πρότερον ἠκούσατε ἀναγιγνώσκοντος τοῦ γραμμα-
τέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. καὶ ὡς
ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι
ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς· αἱ γὰρ
ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσι. τοῦ* 3
*μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ᾽ ἡ πόλις αἰτία
οὖσα Τιμάρχῳ οὔθ᾽ οἱ νόμοι οὔθ᾽ ὑμεῖς οὔτ᾽ ἐγώ, ἀλλ᾽
αὐτὸς οὗτος ἑαυτῷ. οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ
αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν, ἐπίταγμα, ὥς γε δὴ
ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ
ῥᾴδιον· ἐμὲ δ᾽ ἐξῆν αὐτῷ, εἰ ἐσωφρόνει, μὴ συκοφαντεῖν.
περὶ μὲν οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι.*

---

1. *οὐδένα . . λυπήσας* Hermog. Sp. II 370 W. V 462 *οὐδένα . . ἐπανορθοῦσιν* Greg. Cor. W. VII 1182. — *ἄνδρες om. hic similibusque locis* B — 3. *πρὸς: παρ᾽* b — 4. *δὲ om.* Greg. — *τε om.* b — 7. *ἐπιδείξω προϊόντος* B, cf. 42. 82. II 5. — 8. *τοῖς om.* m. — 9. *εἰδὼς . . γραμματέως* Hermog. Sp. II 432. — 11. 12. *καὶ ὡς ἔοικεν . . ἐπανορθοῦσι* Hermog. Sp. II 449. — 13. *ἐπὶ* AM, *ἐν* B — 14. *ἐπανορθοῦσι* A Rhett. Stob. Flor. II 91 M. *ἐπανορθοῦνται* BM — 14. 15. *τοῦ μὲν οὖν . . τοῖς κειμένοις* Greg. Cor. W. VII 1316. — 16. *οὔθ᾽ οἱ νόμοι om.* Greg. Cor. — 17. *ἑαυτῷ* AMm, *αὐτῷ* ab — 20. *αὐτὸν* B — 21. *οὖν om.* m.

4 Οὐκ ἀγνοῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μέλλω ἐν πρώ-
τοις λέγειν ὅτι φανεῖσθε καὶ ἑτέρων πρότερον ἀκηκοότες·
ἀλλά μοι δοκεῖ καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ
αὐτῷ λόγῳ τούτῳ χρῆσθαι. ὁμολογοῦνται γὰρ τρεῖς εἶναι
πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρ-
χία καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες
καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ
πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις.
5 εὖ δ' ἴστε, ὦ ἄνδρες, ὅτι τὰ μὲν τῶν δημοκρατουμένων
οἱ νόμοι σώζουσι, τὰ δὲ τῶν τυραννίδων καὶ ὀλιγαρχιῶν
ἀπιστία καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς
μὲν τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς ἐν χειρῶν
νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ τοῖς τὴν ἴσην καὶ
ἔννομον πολιτείαν ἔχουσι τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας
ἢ βεβιωκότας· ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν εὐνομῆσθε καὶ
6 μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων. προσήκειν δὲ
ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν,
ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πόλει
θησόμεθα, ἐπειδὰν δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς
κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ
δεῖ τὰ τῆς πόλεως καλῶς ἔχειν. σκέψασθε γάρ, ὦ ἄνδρες,
ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσαθ' ὁ Σόλων ἐκεῖ-
7 νος καὶ ὁ Δράκων καὶ οἱ κατ' ἐκείνους νομοθέται. πρῶτον
μὲν γὰρ περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων

1. οὐκ ἀγνοῶ δὲ . . λέγειν Hermog. W. III 435 — ὦ ἄ. Ἀ. *om.* B ἃ . . . λέγειν ὅτι AM Greg., ὅτι ἃ . . . λέγειν B, ad III 6 — 2. ἑτέρων A, ἑτέρων ἤδη BM — 4 χρήσασθαι ab — Cf. III 6. — 9 ἄνδρες W, Ἀθηναῖοι C — *post* δημοκρ. *add.* C: σώματα καὶ τὴν πολιτείαν, *del.* W — 10. τυραννίδων Auger, τυράννων C — τῶν ὀλιγ. AmM, ὀλιγαρχικῶν Taylor — 11. 12. τοῖς μὲν W, τοῖς μὲν ὀλιγαρχικοῖς καὶ τοῖς C — 12. ἂν χειρῶν Dahms — 13. 14. καὶ ἔννομον B, καὶ τὴν ἔννομον AM — 14. νόμους τι λέγ. A — 15. βεβιωκότας Taylor, βεβ. κολάζειν C, cf. § 6 — 16. παρανομούντων] *praeter* ab *add.* C: καὶ ἀσελγῶς βιούντων, cf. Cob. N. L. 576 — 18. πόλει m, πολιτείᾳ x — 19. θησόμεθα Bkk. (cod. Goth.), θησοίμεθα C — 20. κολάζεσθαι A, cf. § 5 — 21. καλῶς καὶ εὖ ἔχειν A — γάρ: δὲ S — ἄνδρες W, Ἀθηναῖοι C — 22. ἐποιήσαθ' ὁ: ἐποιήσατο A, ἐποιήσατο ὁ B — 22. 23. ἐκεῖνος H, ἐκεῖνος ὁ παλαιὸς νομοθέτης C — 23. οἱ κατ' ἐκείνους W, οἱ κατὰ τοὺς καιροὺς ἐκ. A, οἱ κατὰ τοὺς χρόνους ἐκ. BM.



διαρρήδην ἀπέδειξαν ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον
ἐπιτηδεύειν καὶ ὡς δεῖ αὐτὸν τραφῆναι, ἔπειτα περὶ
τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν
[οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων].
καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέ-
θεντο καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας. βούλομαι 8
δὴ καὶ ἐγὼ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ
λόγῳ ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης. πρῶτον μὲν γὰρ
διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους οἳ κεῖνται περὶ τῆς
εὐκοσμίας τῶν παίδων τῶν ἡμετέρων, ἔπειτα τοὺς περὶ
τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων
ἡλικιῶν. οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς
λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι, ὦ
ἄνδρες, διεξελθεῖν πρῶτον πρὸς ὑμᾶς ὡς ἔχουσιν οἱ
νόμοι περὶ σωφροσύνης τῇ πόλει, πάλιν δὲ μετὰ τοῦτο
ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου· εὑρήσετε γὰρ
αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.
Ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις, οἷς 9
ἐξ ἀνάγκης παρακατατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν
παῖδας, οἷς ἐστιν ὁ μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν, ἡ δ'
ἀπορία ἐκ τῶν ἐναντίων, ὅμως ἀπιστῶν φαίνεται, καὶ
διαρρήδην ἀποδείκνυσι πρῶτον μὲν ἣν ὥραν προσήκει
ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς διδασκαλεῖον, ἔπειτα 10
μετὰ πόσων παίδων πηνίκα εἰσιέναι καὶ ἀπιέναι, καὶ
τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδο-

1. διαρρήδην W, ἐνομοθέτησαν καὶ διαρρήδην AM, πρῶτον μ. γ. ἐνομοθέτησαν π. τ. σ. . . τῶν ἡμετέρων καὶ διαρρήδην B — 2. δὴ τραφῆναι αὐτὸν b — ἔπειτα W, ἔπειτα δεύτερον C — 4. οὐ μόνον . . ῥητόρων *mihi suspecta sunt* — μόνον περὶ B, μόνον δὲ περὶ AM — 6. ἐπέστησαν BM, ἐποίησαν A — 7. ἐγὼ A, ἐγὼ νυνὶ BM — 10. ἡμετέρων Bremi, ὑμετέρων C — ἔπειτα W, ἔπειτα δεύτερον C — 12. ἡλικιῶν: *add.* C: οὐ μόνον περὶ τῶν ἰδιωτῶν ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. *del.* Bkk. — 14. ἄνδρες W, Ἀθηναῖοι C — διεξελθεῖν A, προδιεξελθεῖν BM — ὡς *om.* m¹, πῶς m² — 15. περὶ σωφροσύνης τῇ πόλει W, περὶ τῆς πόλεως C — 16. τοὺς Τιμ.: τοῦ Τιμ. f — 22 ἣν ὥραν: ὁπηνίκα Co., cf. N. L. 452. — 24. ποίων Wolf — πηνίκα εἰσιέναι καὶ ἀπιέναι W, εἰσιέναι καὶ πηνίκα ἀπιέναι C *Lacuna nescio an sic explenda videatur:* ἔπειτα μετὰ πόσων παίδων (ἔξεστιν) ἔνδον εἶναι καὶ πηνίκα εἰσιέναι καὶ ἀπιέναι. — ὁπηνίκα m.

τρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει μὴ πρό-
τερον πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλῄειν δὲ προστάττει
πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν
πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς
εἰσφοιτῶντας οὕστινας δεῖ εἶναι καὶ ἅστινας ἡλικίας
ἔχοντας, καὶ ἀρχὴν ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη,
καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν
τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις,
καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων
11 καὶ τῶν χορῶν τῶν κυκλίων. κελεύει γὰρ τὸν χορηγὸν τὸν
μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ εἰς ὑμᾶς ἀναλίσκειν
ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη
ἐν τῇ σωφρονεστάτῃ αὐτοῦ ἡλικίᾳ ὢν οὕτως ἐντυγχάνῃ
τοῖς ὑμετέροις παισίν. ἀναγνώσεται οὖν ὑμῖν τούτους
τοὺς νόμους ὁ γραμματεύς, ἵν' εἰδῆτε ὅτι ὁ νομοθέτης
ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον
χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀν-
θρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ
τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο
πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳί. λέγε δ' αὐτοῖς τοὺς
νόμους τούτους.

## ΝΟΜΟΙ.

12 [Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ
διδασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν
δὲ πρὸ ἡλίου δύνοντος. καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν
τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον
ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς ἢ θυγατρὸς
ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω.
καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν συγκαθ-
ιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ
ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω
ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. οἱ
δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν
τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.]

Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, νομοθετεῖ περὶ ἀδικη- 13
μάτων μεγάλων μέν, γιγνομένων δ' οἶμαι ἐν τῇ πόλει·
ἐκ γὰρ τοῦ πράττεσθαί τινα ὧν οὐ προσῆκεν, ἐκ τούτου
τοὺς νόμους ἔθεντο οἱ παλαιοί. διαρρήδην γοῦν λέγει
ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς
ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ
μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν εἶναι, κατὰ δὲ τοῦ μισθώ-
σαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε,
τοῦ δὲ ὅτι, φησίν, ἐμισθώσατο. καὶ ἴσα τὰ ἐπιτίμια
ἑκατέρῳ πεποίηκε καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ
ἡβήσαντι τρέφειν τὸν πατέρα μηδὲ οἴκησιν παρέχειν, ὃς
ἂν ἐκμισθωθῇ ἑταιρεῖν· ἀποθανόντα δὲ θαπτέτω καὶ
τἆλλα ποιείτω τὰ νομιζόμενα. σκέψασθε δὴ ὡς καλῶς, 14
ὦ ἄνδρες, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς
παιδοποιίας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παρρησίαν,
τελευτήσαντα δὲ αὐτόν, ἡνίκα ὁ μὲν εὐεργετούμενος οὐκ
αἰσθάνεται ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ
θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα ποιεῖν τὰ νομι-
ζόμενα. καὶ τίνα ἕτερον νόμον ἔθηκε φύλακα τῶν ὑμε-
τέρων παίδων; τὸν τῆς προαγωγείας, τὰ μέγιστα ἐπιτίμια
ἐπιγράψας, ἐάν τις ἐλεύθερον παῖδα ἢ γυναῖκα προαγω-
γεύῃ. καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ 15
πάντα τὰ τοιαῦτα συλλαβὼν ἔχει· ἐν ᾧ διαρρήδην γέγρα-
πται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα (ὑβρίζει δὲ δή που ὁ
μισθούμενος) ἢ ἄνδρα ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ

2. κλείειν C — 6. ἀρχὴ a¹m — 10. κυκλίων F, ἐγκυκλίων C, cf. III 232. — 11. εἰς ὑμᾶς om. B, cf. III 19. — 13. σώφρονι f¹ — αὐτὸς m — 14. οὖν: δὲ b — 19. παραπλήσιον .. πολίτῃ (πολίτην b) B — 20. λέγε αὐτοῖς m — 22. ΝΟΜΟΣ f, qui leges ipsas om. — 27. ἀδελφοῦ ab.

4. ἄνδρες: Ἀθηναῖοι C — 6. ἐκ γὰρ τοῦ γίνεσθαι τινὰ ὧν μὴ δεῖ ... οἱ παλαιοί Sopat. W. IV 50. 222 V 20. 234. — τινὸς b — 7. ἔθεντο A, Sopater, ἔθηκαν B — 10. γραφὴν Am, γραφὰς ab, add. B: ἑταιρήσεως — 12. ὅτι φησὶν ἐμ. ab, ὅτι ἐμ. φησὶ m, φησὶν ὅτι ἐμ. AM — 15. ἐκμισθώσῃ m — δὲ αὐτὸν B, nisi quod m: ἀποθανόντι δὲ αὐτῷ. — 16. τἆλλα: ἄλλα f — 17. ἄνδρες: Ἀθηναῖοι C — 18. τοῦ παιδὸς: ἐκείνου A — 19. οὐκ ab, οὐκέτι x — 22. 23. ὑμετ. ab, ἡμετ. x — 24. 25. προαγωγεύῃ ab, προαγωγεύει m, προαγωγεύσῃ AM — 26. πάντα AM, ἅπαντα B.

ἢ τῶν δούλων, κἂν παράνομόν τι ποιῇ εἰς τούτων τινά, γραφὰς ὕβρεως εἶναι καὶ τίμημα ἐπέθηκεν ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. λέγε τὸν νόμον.

## ΝΟΜΟΣ.

16 [Ἄν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος. οὗ ἂν τὸ δικαστήριον καταψηφίσηται, παραδοθεὶς τοῖς ἕνδεκα τεθνάτω αὐθημερόν. ἐὰν δὲ εἰς ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν· ἕως δὲ τοῦ ἀποτῖσαι εἱρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.]

17 Ἴσως ἂν οὖν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή ποτ᾽ ἐν τῷ νόμῳ προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, εὑρήσετε ὅτι πάντων ἄριστα ἔχει. οὐ γὰρ ὑπὲρ τῶν οἰκετῶν ἐσπούδασεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ἡμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως προσέγραψε μηδ᾽ εἰς τοὺς δούλους ὑβρίζειν. ὅλως δὲ ἐν δημοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβριστήν, τοῦτον οὐκ
18 ἐπιτήδειον ἡγήσατο συμπολιτεύεσθαι. κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐνταῦθ᾽ ὁ νομοθέτης οὔπω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρί, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν δ᾽ ἐγγραφῇ τις εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ τοὺς νόμους εἰδῇ

---

1. κἂν W, καὶ A, ἢ ἐὰν BM — 2. εἶναι W, εἶναι πεποίηκεν cf. § 20 — 4. *De hac lege cf.* Bake Schol. Hyp. III p. XLVI sqq. — 7. οὗ ἂν Tayl., ᾧ ἂν C — καταψηφίσηται h, καταψηφισθῇ C — 10. μὴ παραχρῆμα: *horum loco lacuna in* f — 11. εἱρχθήτω *cod. Goth.*, εἰρχθ. C — 14. οὖν ἂν Bkk *ex* hl — 17. ὅτι R, ὅτι τοῦτο C — 18. ὑπὲρ: περὶ ab — ἐσπούδακεν a — 19. ημᾶς d, ὑμᾶς Bf — ἀπέχειν, cf. II 3. — 21. ἐν: ἐν τῇ B — 22. ἡγήσατο W, ἡγ. εἶναι A, εἶναι ἡγ. B — 25. πατρὸς ab — 27. τις *add.* A, *propter* ἑτέρῳ *necessarium* — νόμους εἰδῇ A, νόμους γνῷ καὶ εἰδῇ B.



τοὺς τῆς πόλεως καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μή, οὐκέτι ἑτέρῳ διαλέγεται ἀλλ᾽ ἤδη αὐτῷ. καὶ 19
πῶς λέγει; ἄν τις Ἀθηναίων, φησίν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, ὅτι οἶμαι στεφανηφόρος ἡ ἀρχή, μηδ᾽ ἱερωσύνην ἱεράσασθαι, μηδὲ συνδικῆσαι τῷ δημοσίῳ· μηδὲ ἀρξάτω, φησίν, ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ᾽ ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν· μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευ- 20
σάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ συκοφαντείτω, μηδὲ γνώμην εἰπάτω μηδέποτε ἐν τῷ δήμῳ, μηδ᾽ ἂν δεινότατος ᾖ λέγειν. ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκεν. λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν᾽ εἰδῆτε οἵων νόμων ὑμῖν κειμένων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς ἐπίστασθε.

## ΝΟΜΟΣ.

[Ἐάν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν 21
ἐννέα ἀρχόντων γενέσθαι μηδ᾽ ἱερωσύνην ἱεράσασθαι μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν, μηδ᾽ ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω, μηδ᾽ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ᾽ ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ᾽ ἐντὸς τῶν περιρραντηρίων πορευέσθω. ἐὰν δέ τις

---

2. αὐτῷ R, αὐτῷ Τιμάρχῳ C — 5. ἱερώσασθαι m — ἱεράσασθαι: *add.* C: ὃς (ὡς m) οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι, del. W, F: ὡς οὐ καθαρεύοντι τῷ σώματι. — 5. 6. συνδικῆσαι W, συνδικήσῃ φησὶ B, συνδικησάτω φησὶ A — 6. ἀρξάτω φησὶν A, ἀρξάτω B — 8. 9. πρεσβευσάτω οὗτος d — 9. 10. συκοφαντείτω W, συκοφ. μισθωθεὶς A, ὁ μισθωθεὶς συκοφ. B — 10. ἐν τῷ δήμῳ W, μήτε ἐν τῷ δήμῳ μήτε ἐν τῇ βουλῇ A, μήτε ἐν τῇ βουλῇ μήτε ἐν τῷ δήμῳ B — 11. λέγειν Ἀθηναίων A — 13. ἵν᾽ .. ἐπίστασθε *om.* d — 14. νόμων ἡμῖν (ὑμῖν m) κειμένων B, ἡμῖν κειμένων νόμων fM. — 18. ἐὰν ab, ἂν x — ἐξέστω αὐτῷ τῶν: ἐξ B — 19. ἱερωσύνην *om.* B — ἱερώσασθαι bm — 20. δήμῳ: δημοσίῳ? — 21. μηδὲ κλ. μηδὲ Bd, — 25. ἐντὸς τῶν περιρραντ. W, ἐντὸς τῆς ἀγορᾶς τῶν περιρραντ. ab, ἐντὸς τῆς ἀγορᾶς περὶ τῶν ῥαντηρίων md, τῆς ἀγορᾶς περιβαντηρίων f², Aristid. I 755 Dind.

ταῦτα ποιῇ, καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.]

22 Τοῦτον μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων· [οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνων, περὶ τῶν παίδων·] οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων ἐσκέψατο, τίνα χρὴ τρόπον συλλεγομένους ἡμᾶς εἰς τὰς ἐκκλησίας βουλεύεσθαι περὶ τῶν σπουδαιοτάτων πραγμάτων. καὶ πόθεν ἄρχεται; ἀπὸ σωφροσύνης πρῶτον ἤρξατο, ὡς ὅπου πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν πόλιν οἰκη-
23 σομένην. καὶ πῶς κελεύει χρηματίζειν; ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους [περὶ τῶν ἱερῶν τῶν πατρίων καὶ κήρυξι καὶ πρεσβείαις καὶ ὁσίων] καὶ μετὰ ταῦτα ἐπερωτᾷ ὁ κῆρυξ „τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων;“ ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότ' ἤδη κελεύει λέγειν τῶν ἄλλων Ἀθηναίων τὸν βουλόμενον, οἷς
24 ἔξεστιν. σκέψασθε δὴ ὡς καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα φρονοῦντας, τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ ὀνομαστὶ αὐτῶν ἕνα ἕκαστον ἀπορεῖ, τὴν ἐπωνυμίαν τῆς

3. *μὲν* AM, *μέντοι* B — 5. *ἀνέγνω* ab — 8. *τὴν ἐκκλησίαν* BM — 9. *σπουδαιοτέρων* BM, cf. § 33 — 10. *ἄρχεται: add.* C: *νόμοι φησὶ περὶ εὐκοσμίας, qui mihi titulus videtur esse*, cf. Bake Schol. IV 281 — *πρότερον* m — 12. *καὶ πῶς* F, *καὶ πῶς δὲ* C, cf. § 19 — *χρηματίζειν* W, *προέδρους χρηματίζειν* A, *τοὺς προέδρους χρ.* BM — 14. *προχειροτονεῖν et τοὺς προέδρους del.* Bake. — 15. *τῶν ἱερῶν* A, *ἱερῶν* BM — 15. 16. *κηρύκων καὶ πρέσβεων* m, *περὶ ἱερῶν τῶν πατρίων καὶ ὁσίων καὶ κήρυξι καὶ πρεσβείαις* cf. Polluc. VIII 95 Bens. — 18. *τότε δὴ* Schol. Aristoph. Ach. 44. — 19. *λέγειν: δημηγορεῖν* Schol. Aristoph. — *Ἀθηναίων ἁπάντων* A — 20. *σκέψ. . . πραγμ.* Stob. Fl. IV 71. — *ἄνδρες om.* ab — 22. *ἡ δὲ . . ἐπιλείπειν* Thom. Mag. 116, 12 — 25. 26. *ὀνομαστὶ* R, *ὀνόματι* C, cf. 193 *et* Antiph. VI 40. — 26. *ἀπορεῖ* W, *ἀπορεῖ προσειπεῖν* C, cf. III 96. — *τὴν κοινὴν* d.



ὅλης ἡλικίας ὑπολαβὼν παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δημηγορεῖν. ἅμα δὲ καὶ τοὺς νεωτέρους διδάσκει αἰσχύνεσθαι τοὺς πρεσβυτέρους καὶ πάνθ' ὑστέρους πράττειν καὶ τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα διαγιγνώμεθα. καὶ οὕτως ἦσαν σώφρονες 25
οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς καὶ ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Τιμάρχῳ τουτῳί, ὥστε ὃ νυνὶ πάντες ἐν ἔθει πράττομεν, τὸ τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. μέγα δὲ πάνυ σημεῖον ἔργῳ οἶμαι ἐπιδείξειν· εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα καὶ τεθέασθε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτ' ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῷ Ἀθηναίων. σκέψασθε δή, ὦ ἄν- 26
δρες Ἀθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι ὧν ὀλίγῳ πρότερον ἐπεμνήσθην. ἐκεῖνοι μέν γε ᾐσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν, οὑτοσί δὲ οὐ πάλαι ἀλλὰ πρῴην ποτὲ ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι, αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως εἰ τοιούτοις συμβούλοις χρώμεθα. ἃ συνι- 27
δὼν ὁ νομοθέτης διαρρήδην ἀπέδειξεν οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὔ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος εἴ

1. *ἀπολαβὼν* m — 2. *καὶ om.* B — *τοὺς νέους* AM — 4. *εἰς ὃ . . διαγιγνώμεθα del.* Bake — 5. *ἄρα* A, *ἄρα δὴ* BM. — *διαγενώμεθα* BM — 6. *ὁ Θεμ.* A, *Θεμ.* B — 7. *ἔχων ἐπωνυμίαν* AM Thom. 157, *ἐπωνυμίαν ἔχων* B — 8. *τούτῳ* ab, *add.* C: *ὁ* (*om.* Th.) *δίκαιος ἐπικαλούμενος*, cf. II 23 — 11. *πάνυ* W, *τούτου πάνυ* A, *πάνυ τούτου* BM — *οἶμαι* W, *ὑμῖν οἶμαι* B, *οἶμαι ὑμῖν* AM — 12. *τεθεωρήκατε* A — 15. *τοῦτο δέ ἐστιν ὡς ὑπ. . . . Ἀθηναίων* Rhet. W. VII 38 — 17. *τῷ* W, *τῶν* C — *δὲ* B — 19. *ἐγὼ ὀλίγῳ* A, *cf. ad.* III 12 — *ἐπεμνήσθην* W, *ἐμνήσθην* A, *ἐν τῷ λόγῳ ἐπεμνήσθην* B — 20. 21. *οὑτοσὶ δὲ* A, *Τίμαρχος δὲ οὑτοσὶ* BM — 27. *οὓς οὔ* W, *οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ* C.

τις μὴ προγόνων ἐστὶ ἐστρατηγηκότων, οὐδέ γε εἰ τέχνην
τινὰ ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ, ἀλλὰ τού-
τους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλάκις
28 ἐπερωτᾷ τίς ἀγορεύειν βούλεται. τίνας δ' οὐκ ᾤετο δεῖν
λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημη-
γορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία, φησὶ, ῥητόρων·
ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν
μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν· τοῦτον
οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὡς ἐγώ φημι. διὰ τί;
ὅτι εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους
ἐστὶ φαῦλος, τί ποτε, φησὶν, ὑπ' αὐτοῦ πείσονται οἱ
29 ἀλλότριοι καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον ἀπεῖπε
μὴ λέγειν; ἢ τὰς στρατείας, φησὶ, μὴ ἐστρατευμένος,
ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκὼς,
δίκαια λέγων. τί δή ποτε; ἄνθρωπε, τῇ πόλει ὑπὲρ
ἧς τὰ ὅπλα μὴ τίθεσαι ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ
ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον τίσι διαλέ-
γεται; ἢ πεπορνευμένος, φησὶν, ἢ ἡταιρηκώς· τὸν γὰρ τὸ
σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα καὶ τὰ κοινὰ τὰ
30 τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. τέταρτον
τίσι διαλέγεται; ἢ τὰ πατρῷα, φησὶ, κατεδηδοκὼς ἢ ὧν
ἂν κληρονόμος γένηται· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς
οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο
διαθήσειν. καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν
αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν δημοσίᾳ δὲ
χρηστὸν, οὐδ' ᾤετο δεῖν τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα
31 τῶν λόγων ἐπιμεληθέντα πρότερον ἀλλ' οὐ τοῦ βίου. καὶ
παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς

1. ἐστρατηγηκότων W, ἐστρ. υἱὸς A, τῶν ἐστρ. υἱὸς B — 2. 3. καὶ τούτους B — 4. ἐρωτᾷ d[1] — 7. ἐὰν ab, ἂν x — 9. ἐγὼ B, ἔγωγε AM — 13. στρατευόμενος A — 14. ὅσαι: αἳ d — ἢ: εἰ f — 15. τί: διὰ τί A — 18. ἢ f[1], εἰ f[2]dB — ἢ ἢ m — 19. τὸ ἑαυτοῦ B, ἑαυτοῦ A, fort. τὸ αὑτοῦ. — 19. 20. τὰ τῆς B, τῆς A — 21. ἢ τὰ: εἰ τὰ d, ἢ ὁ τὰ B — 22. τὸν γὰρ .. διαθήσειν Thom. 261, 3 — 24. διαθεῖναι m — 26. δεῖν Baiter, δεῖν ὁ νομοθέτης C — 27. 28. κἂν παρὰ A — κἂν: καὶ A — κακῶς: καλῶς m[1].



καὶ ἁπλῶς ῥηθῇ, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι
τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ κατα-
γελάστως μὲν κεχρημένου τῷ σώματι, αἰσχρῶς δὲ τὴν
πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λεχθῇ
συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους οὖν ἐξείργει 32
ἀπὸ τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν.
ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ ἀλλὰ καὶ συκο-
φαντῇ καὶ ἀσελγαίνῃ, καὶ μηκέτι τὸν τοιοῦτον ἄνθρωπον
δύνηται φέρειν ἡ πόλις, δοκιμασίαν μὲν, φησὶν, ἐπαγ-
γειλάτω Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν, ὑμᾶς δ'
ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγιγνώσκειν·
καὶ νῦν ἐγὼ κατὰ τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς.
Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται· ὑμεῖς δ' ἔτι 33
προσέθεσθε καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον
ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ, ὑπεραισχυνθέντες
ἐπὶ τῷ πράγματι, καθ' ἑκάστην ἐκκλησίαν ἀποκληροῦν
φυλὴν ἐπὶ τὸ βῆμα ἥτις προεδρεύσει. καὶ τί προσέ-
ταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυ-
λέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, ὡς,
εἰ μὴ βοήθειάν ποθεν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω
βεβιωκότας, οὐδὲ βουλεύεσθαι δυνησομένους περὶ τῶν
σπουδαιοτάτων πραγμάτων. ἔστι δ' οὐδὲν ὄφελος, ὦ 34
ἄνδρες Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους
ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ γὰρ
αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή·
μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο.
Ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς
εὐκοσμίας κειμένους τῶν ῥητόρων· τὸν γὰρ περὶ τῆς

1. ῥηθῇ Bkk., ῥηθῇ λόγος C — 3. τῷ ἑαυτοῦ BM — 4. λέγῃ m — 6. ἀπὸ om. A, cf. 46 — 8. τὸν add. A — 15. ὑπεραισχυνθέντες A, ὑπεραισχ. γὰρ BM — 16. ἐκκλησίαν: add. BM: νόμον ἐθήκατε καινὸν, cf. Spp. Ep. Crit. 125 — 20. ποθεν om. in lacuna b — 21. δυνησομένους W, δυνησ. ὑμᾶς B, ἡμᾶς δυνησ. AM — 23. ἄνδρες add. W — 24. ταῖς om. ma[1] — κραυγαῖς: cf. Lex. Rhet. ed. Meier Prog. Hal. 1844 p. X Vs. v. ἐπιβολή — 26. ἂν om. m[1] — γένωνται m — 27. περὶ: ἐπὶ b — 28. τὸν γὰρ f, καὶ τὸν Bd.

προεδρίας τῶν φυλῶν νόμον Τίμαρχος οὑτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες γεγραμμένοι εἰσὶ μηδ' ἐπιτήδειον εἶναι, ἵν' ἐξῇ αὐτοῖς καὶ ζῆν καὶ λέγειν ὡς αὐτοὶ βούλονται.

## ΝΟΜΟΙ.

35 [Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ μὴ περὶ τοῦ εἰσφερομένου ἢ μὴ χωρὶς περὶ ἑκάστου ἢ δὶς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς τῆς αὐτῆς, ἢ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινά, ἢ ὑποκρούῃ, ἢ χρηματιζόντων μεταξὺ ἀνεστηκὼς λέγῃ περί του μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται ἢ ἕλκῃ τὸν ἐπιστάτην, ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν καθ' ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πράκτορσιν. εἰ δὲ πλέονος ἄξιός ἐστι ζημίας, ἐπιβαλόντες μέχρι πεντακοσίων δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν. ὅταν δ' ἐξίωσιν αἱ κλήσεις, κρινάτωσαν· καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην ψηφιζομένων, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν.]

36 Τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ εὖ οἶδ' ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέντοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀχρήστους ἐφ' ὑμῖν ἐστιν· ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' ἀφιῆτε, καλοὶ μὲν κύριοι δὲ οὐκέτι.

1. *νόμον* f, *νόμον ὃν* Bd — 2. *μηδ'* f, *μὴ* Bd — 3. *εἶναι om.* m — *ἐξῇ* f, *ἐξῇ πράττειν* Bd — *ζῆν καὶ λέγειν* f. *λέγειν καὶ ζῆν* Bd — 5. *Legem om.* f. Cf. Bake Hyp. V 117 — 6. *μὴ add.* Schoemann — 7. *ἢ μὴ* H. Wolf, *μὴ* C — *χωρεῖ* d, *χωρῇ* ab — *χωρὶς* ab, *χωρὶς ἢ* m, *χωρὶς ἢ* d? — 8. *τοῖς αὐτοῖς* AM — *ἢ λοιδ.* Bern., *ὅτι ἢ* C — 9. *ἢ ante χρημ. om.* d — 10. *ἀνεστηκὼς* Brunk, *ἀνηκεστῶς* C — *του* ab, *τοῦ* m, *τῶν* d? — 13. *καθ'* M, *εἰ καθ'* ab, *εἶθ* d — 14. *εἰ* Tur, *ἐὰν* C — 15. *πεντακοσίων* F, *πεντήκοντα* C — 16. *ἐκκλησίαν* F, *ἐκκλ. ἐν τῷ βουλευτηρίῳ* C — *δ' add.* ho — 17. *αἱ add.* Matthiae — 18. *ψηφιζομένων* R, *ψηφίζον ἐν* ab, *ψηφίζων ἐν* dm, *numeris mihi latere videtur, quod* C *add. τῶν βουλευτῶν del.* F — 19. *πράκτορσιν* R, *πράκτορσι τῶν νόμων* C — 20. *ἄνδρες add.* W. — 23. *μὲν om.* b — 24. *ἀφῆτε* A — 25. *μὲν* lCo, *μόνον* C, cf. 177.



37 Βούλομαι δ' ὥσπερ ὑπεθέμην, ἐπειδὴ περὶ τῶν
νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς
τρόπους τοὺς Τιμάρχου, ἵν' εἰδῆτε ὅσον διαφέρουσι τῶν
νόμων τῶν ὑμετέρων. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, συγγνώμην μοι ἔχειν, ἐὰν ἀναγκαζόμενος λέγειν
περὶ ἐπιτηδευμάτων φύσει μὲν μὴ καλῶν, τούτῳ δὲ πε-
πραγμένων ἐξαχθῶ τι ῥῆμα εἰπεῖν ὅ ἐστιν ὅμοιον τοῖς
ἔργοις τοῖς Τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπι- 38
τιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι διδάσκειν βουλόμενος,
ἀλλὰ πολὺ μᾶλλον τούτῳ, εἰ οὕτω γε τυγχάνει βεβιωκὼς
ὥστε τὸν τὰ τούτῳ πεπραγμένα διεξιόντα ἀδύνατον εἶναι
εἰπεῖν ὡς αὐτὸς βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων
φθέγγηται ῥημάτων. εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν
δύνωμαι μάλιστα.

39 Σκέψασθε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μετρίως μέλλω προσφέρεσθαι τουτῳί. ἐγὼ γὰρ ὅσα μὲν παῖς ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν ἀφίημι, καὶ ἔστω ταῦτα ἄκυρα ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα καὶ τὰ πρὸ Εὐκλείδου ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη ἐγένετο προθεσμία· ἃ δὲ ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπρακται, περὶ τούτων ἔγωγε τὰς κατηγορίας ποιήσομαι καὶ ὑμᾶς ἐπ' αὐτοῖς ἀξιῶ σπουδάζειν.

40 Οὗτος γὰρ πρῶτον μέν, ἐπειδὴ ἀπηλλάγη ἐκ παίδων, ἐκάθητο ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου, προφάσει μὲν τῆς τέχνης μαθητής, τῇ δ' ἀληθείᾳ πωλεῖν αὐτὸν προῃρημένος, ὡς αὐτὸ ἔδειξεν. ὅσοι μὲν

1. *ὑπεθέμην* W, *ἀρχόμενος τοῦ λόγου ὑπεθ.* A, *ὑπεθ. ἀρχόμενος τοῦ λόγου* BM cf. II 102 — 3. *τοὺς Τιμ.* M, *τοῦ Τιμ.* Aab, *Τιμ.* m — 4. *ἄνδρες add.* W — 6. *μή: οὐ* d — 7. *ἐξαχθῶ* B, *προεξαχθῶ* AM — *ῥῆμα: ἔργον* ab — 8. *τοῖς Τιμ.: τοῦ Τιμ.* m — 9. *διδάσκειν* B, *διδάσκειν ὑμᾶς* AM — 10. *εἰ οὕτω γε* W, *οὕτω γὰρ αἰσχρῶς* AM, *εἰ αἰσχρῶς οὕτω* B — 13. *φθέγγηται* A, *φθέγξηται* BM — 14. *μάλιστα om.* A — 15. *ἄνδρες add.* W — 16. *τουτωῒ* W, *Τιμάρχῳ* A, *Τιμάρχῳ τουτωῒ* BM — 16. 17. *εἰς τὸ σῶμα ὢν* b — 18. *τὰ om.* m[1] — *καὶ* B, *ἢ* AM — 19. *γέγονε* ab — 22. *ἔγωγε: ἐγώ τε* Emperius — 24. *πρῶτον μὲν* W, *πάντων μὲν πρῶτον* A, *πρῶτον μὲν πάντων* B, *πρῶτον πάντων μὲν* M — 27. *ἑαυτὸν* Am — *αὐτὸ* M, *αὐτὸ τὸ πρᾶγμα* A, *αὐτὸ τοὔργον* B.

οὖν τῶν ἐμπόρων ἢ τῶν ἄλλων ξένων ἢ τῶν πολιτῶν τῶν ἡμετέρων κατ᾽ ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώματι Τιμάρχου, ἑκὼν καὶ τούτους ὑπερβήσομαι, ἵνα μή με τις εἴπῃ ὡς ἄρα λίαν ἀκριβολογοῦμαι ἅπαντα· ὧν δ᾽ ἐν ταῖς οἰκίαις γέγονε καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πόλιν, μισθαρνῶν ἐπ᾽ αὐτῷ τούτῳ ὃ ἀπαγορεύει ὁ νόμος μὴ πράττειν ἢ μὴ δημηγορεῖν, περὶ
41 τούτων ποιήσομαι τοὺς λόγους. ἔστι τις Μισγόλας Ναυκράτους, ὦ ἄνδρες Ἀθηναῖοι, Κολλυτεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθὸς καὶ οὐδαμῇ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακὼς καὶ ἀεί τινας ἔχων περὶ αὐτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς. ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ᾽ ἵνα γνωρίσητε ὅστις ἐστίν. οὗτος αἰσθόμενος ὧν ἕνεκα τὰς διατριβὰς ἐποιεῖτο Τίμαρχος οὑτοσὶ ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν τι προαναλώσας ἀνέστησεν αὐτὸν καὶ ἔσχε παρ᾽ ἑαυτῷ, εὔσαρκον ὄντα καὶ νέον καὶ βδελυρὸν καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα ὃ προῃρεῖτο ἐκεῖνος μὲν πράτ-
42 τειν οὗτος δὲ πάσχειν. καὶ ταῦτα οὐκ ὤκνησεν ἀλλ᾽ ὑπέστη Τίμαρχος οὑτοσὶ οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής· πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ οὐσίαν, ἣν οὗτος κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου· ἀλλ᾽ ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδοναῖς, ὀψοφαγίαις καὶ πολυτελείαις δείπνων καὶ αὐλητρίσι καὶ ἑταίραις καὶ κύβοις καὶ τοῖς ἄλλοις, ὑφ᾽ ὧν οὐδενὸς κρατεῖσθαι τὸ γενναῖον καὶ ἐλευθέριον. καὶ οὐκ ᾐσχύνθη ὁ μιαρὸς οὗτος ἐκλιπὼν μὲν τὴν πατρῴαν οἰκίαν, διαιτώμενος δὲ παρὰ Μισγόλᾳ οὔτε πατρικῷ

4. με om. A — 8. ἔστι τις Μισγόλας W, ἔστι Μισγόλας A, Μισγόλας ἔστι τις BM, cf. § 54. 62 — Μισγόλας .. ὅστις ἐστίν Athen VIII 339 b — 9. Κολυττεύς C, cf. Westerm. ad Leake Dem. 228 — 12. ἔχων A, ἔχειν εἰωθὼς BM, cf. ad III 13 — 13. ταῦτα A — 13. 14. ἵνα γνωρίσητε W, ἵν᾽ αὐτὸν γνωρίσητε B, ἵνα γνωρ. αὐτὸν A — 14. αἰσθανόμενος d — 19. ταῦτα A, ταῦτα ποιεῖν BM — 24. ὀψοφαγίᾳ καὶ πολυτελείᾳ A — καὶ δείπνῳ f — 26. κρατεῖται τὸ γενναῖον W, χρὴ κρατεῖσθαι τὸν γενναῖον AM, δεῖ κρ. τὸν γενν. B — ἐλευθέριον W, ἐλεύθερον C — 28. δὲ om. m.



ὄντι φίλῳ οὐθ᾽ ἡλικιώτῃ ἀλλὰ παρ᾽ ἀλλοτρίῳ καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ᾽ ἀκολάστῳ περὶ ταῦτα ὡραῖος ὤν. πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται 43
Τιμάρχῳ κατ᾽ ἐκείνους τοὺς χρόνους, ἓν δὲ ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι. ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει ἡ πομπή, ἐπόμπευεν δ᾽ ἐν τῷ αὐτῷ ὅ τε Μισγόλας ὁ τοῦτον ἀνειληφὼς καὶ Φαῖδρος Καλλίου Σφήττιος. συνθεμένου δ᾽ αὐτοῖς συμπομπεύειν Τιμάρχου τουτουὶ οἱ μὲν περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. παρωξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου, ἐξαγγελθέντος δ᾽ αὐτοῖς εὑρίσκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων τινῶν συναριστῶντα. διαπειλησαμένου δὲ τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς ξένοις καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι ᾤχοντο καταλιπόντες τὰ παρεσκευασμένα. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, 44
πάντες, κατ᾽ ἐκείνους τοὺς χρόνους ὅσοι ἐγίγνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν. ἦ δὴ καὶ πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ᾽ ὑμῶν, οὐδ᾽ ἀπ᾽ ἄλλου γιγνωσκόμενον οὐδενὸς ἢ ἀπ᾽ αὐτοῦ τοῦ ἐπιτηδεύματος περὶ οὗ καὶ τὴν ψῆφον μέλλετε φέρειν. περὶ μὲν γὰρ τῶν ἀγνοουμένων σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον, περὶ δὲ τῶν ὁμολογουμένων οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν· ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας. ἐγὼ τοίνυν καίπερ ὁμολογουμένου 45
τοῦ πράγματος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα

1. post ἡλικιώτῃ add. C: οὔτε παρ᾽ ἐπιτρόπῳ, del. W, οὔτε ἐπιτρόπῳ H. Wolf — 2. καὶ παρὰ A — 6. ἡ add. S, cf. II 151 — ἐπόμπευον BM (πομπεύων m) — 7. Καλλίου o, ὁ Καλλ. C, cf. F in Act. Soc. Gr. II 47 — 8. πομπεύειν m — 16. ᾤχοντο W, ᾤχοντο φεύγοντες B, φεύγοντες ᾤχοντο AM — 17. ὅτι A, ὅτι ἐγὼ BM — 18. πάντες A, ἅπαντες B — κατ᾽ .. ὅσοι W, οἳ κατ᾽ .. ὅσοι A, ὅσοι κατ᾽ BM — 19. ἡ om. ab — 22. τοῦ om. d — 23. ἐμέλλετε A — 24. ποιεῖσθαι τὰς ἀποδ. A — 26. τὸ om. A, fort. τὸ κατηγορεῖν delendum. — 27. ὁμολογουμένου ὄντος Am.

μαρτυρίαν τῷ Μισγόλᾳ ἀληθῆ μέν, οὐκ ἀπαίδευτον δέ, ὡς ἐγὼ ἐμαυτὸν πείθω. αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ ἔργου ὃ ἔπραττε πρὸς τοῦτον οὐκ ἐγγράφω, οὐδ᾽ ἄλλο οὐδέν, ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ τἀληθῆ μαρτυρήσαντι· ἃ δέ ἐστιν ὑμῖν μὲν τοῖς ἀκούουσι γνώριμα, ἀκίνδυνα δὲ τῷ μαρτυροῦντι καὶ μὴ αἰσχρά, 46 ταῦτα γέγραφα. ἐὰν μὲν οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν τἀληθῆ μαρτυρῆσαι, τὰ δίκαια ποιήσει· ἐὰν δὲ προαιρῆται ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον πρᾶγμα συνήσετε. εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται καὶ προαιρήσεται χιλίας δραχμὰς ἀποτῖσαι τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν, ὁ δὲ πεπονθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ τοῦ βή-47 ματος. ἐὰν δ᾽ ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας, ὡς Τιμάρχῳ μὲν χάριτας ἀποδιδούς, ἑτέροις δ᾽ ἐπίδειξιν ποιούμενος, ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται, ἔπειτα οὐδὲν ἔσται πλέον. ἑτέραν γὰρ ἐγὼ γέγραφα μαρτυρίαν τοῖς εἰδόσι Τίμαρχον τουτονὶ ἐκλιπόντα τὴν πατρῴαν οἰκίαν καὶ διαιτώμενον παρὰ Μισγόλᾳ, πρᾶγμα, οἶμαι, χαλεπὸν ἐξεργάζεσθαι ἐπιχειρῶν· οὔτε γὰρ ἐμὲ δεῖ τοὺς ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι οὔτε τοὺς τούτων ἐχθροὺς οὔτε τοὺς μηδετέρους ἡμῶν γιγνώσκοντας ἀλλὰ τοὺς 48 τούτων φίλους. ἂν δ᾽ ἄρα καὶ τούτους πείσωσι μὴ μαρτυρεῖν, ὡς οὐκ οἶμαί γε· εἰ δὲ μή, ἀλλ᾽ οὐχ ἅπαντας, ἐκεῖνό γε οὐ μή ποτε δύνωνται, ἀφελέσθαι τὴν ἀλήθειαν

1. τῷ add. A — 3. ἄλλο W, ἄλλο γέγραφα C — 4. ἀληθῆ A — 5. ὑμῖν μὲν τοῖς R, ὑμῖν τε A, ὑμῖν B — 6. τῷ μαρτυροῦντι καὶ μὴ A, καὶ μὴ τῷ μαρτυροῦντι B — 7. μὲν om. m — 8. μαρτυρεῖν AM — 10. συνήσετε F, συνείδετε A, συνίδετε BM — 11. χιλίας δραχμὰς W, χιλ. μᾶλλον δρ. B, χιλ. δρ. μᾶλλον AM — 17. ἑταίροις B — 19. ἐξαμαρτήσεται: add. bd: ἐπιορκῶν — ἔσται W, ἐστ᾽ αὐτῷ A, αὐτῷ ἔσται BM — 21. καταλιπόντα AM — 23. ἐξεργάσασθαι AM — ἐγχειρῶν A — με F — 25. οὐδὲ ab — 27. οἴομαι C — 28. γε om. A — οὐ μή ποτε δύνωνται W, οὐδὲ μή ποτε δύνωνται A, οὐδέποτε δυνήσονται B, οὐ μή ποτε δυνήσονται Emperius, cf. Bernhardy Synt. 403.



οὐδὲ τὴν ἐν τῇ πόλει περὶ Τιμάρχου φήμην, ἣν οὐκ ἐγὼ παρεσκεύασα ἀλλ᾽ αὐτὸς ἑαυτῷ. οὕτω γὰρ χρὴ καθαρὸν εἶναι τὸν βίον τοῦ σώφρονος ἀνδρός, ὥστε μήδ᾽ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

49 Βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν ἄρα ὑπακούσῃ ὁ Μισγόλας τοῖς νόμοις καὶ ὑμῖν. εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν· ἔνιοι μὲν γὰρ νέοι ὄντες προφερεῖς [καὶ πρεσβύτεροι] φαίνονται, ἕτεροι δὲ πολὺν ἀριθμὸν χρόνου γεγονότες παντάπασι νέοι. τούτων δ᾽ ἐστὶ τῶν ἀνδρῶν ὁ Μισγόλας. τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς καὶ συνέφηβος, καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος· καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ὡς ὑμεῖς ὁρᾶτε, ἀλλ᾽ οὐκ ἐκεῖνος. διὰ τί ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε καὶ τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε· „ὦ Ἡράκλεις, ἀλλ᾽ οὗτός γε τούτου οὐ πολὺ διαφέρει.“ ἅμα μὲν γὰρ ἡ φύσις τοιαύτη τοῦ ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν.

50 Ἵνα δὲ μὴ διατρίβω, πρῶτον μὲν κάλει μοι τοὺς εἰδότας Τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ, ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίγνωσκε, τελευταίαν δέ μοι λαβὲ τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν, ἂν ἄρα καὶ τοὺς θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας αἰσχυνόμενος καὶ τοὺς ἄλλους πολίτας καὶ ὑμᾶς τοὺς δικαστὰς ἐθελήσῃ τἀληθῆ μαρτυρεῖν.

2. παρεσκεύασα W, παρασκ. τούτῳ A, τούτῳ παρεσκ. BM — αὐτὸς A, αὐτὸς οὗτος BM — 2. 3. χρὴ κάθαρον εἶναι τὸν βίον A Stob. V 74, καθαρὸν χρὴ τὸν βίον εἶναι B — 3. τοῦ om. b — μηδ᾽ A Stob., μὴ BM — 5. ἄρα: γὰρ m — 6. τῷ νόμῳ A — 9. πολὺν om. m[1] — 10. νέοι: νέοι φαίνονται m, νέοι δοκοῦντες εἶναι f, νέοι δοκοῦσιν εἶναι d — 11. ὁ om. f — 13. ὡς W, ὅσας A, ἃς B — 14. διὰ τί W, διὰ τί δὴ A, διὰ τί οὖν B — 16. ὑπολάβοιτε d — 17. ἡ φύσις W, ἡ φύσις ἐστὶ B, ἐστὶν ἡ φύσις AM — 18. ἀνδρὸς A — 20. κάλει μοι πρῶτον μὲν AM, fort. πρῶτον μὲν delendum. — 22. 23. καὶ τελευταίαν δὲ ab, καὶ τελευταῖον δὲ m — 23. 24. ἂν ἄρα Dahms, ἵνα C — 24. 25. αἰσχυνούμενος d — 26. ἐθέλῃ AM.

## *ΜΑΡΤΥΡΙΑΙ.*

[*Μισγόλας Νικίου Πειραιεὺς μαρτυρεῖ ἐμοὶ ἐγένετο ἐν τῇ συνηθείᾳ Τίμαρχος ὁ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου ποτὲ καθεζόμενος, καὶ κατὰ τὴν γνῶσίν μοι τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς τὴν νῦν οὐ διέλιπεν.*]

51 Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ διέμεινε παρὰ τῷ Μισγόλᾳ καὶ μηκέτι ὡς ἄλλον ἦλθε, μετριώτερ᾽ ἂν διεπέπρακτο, εἰ δή τι τῶν τοιούτων ἐστὶ μέτριον, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι ἢ ὅπερ ὁ νομοθέτης παρρησιάζεται, ἡταιρηκέναι μόνον· ὁ γὰρ πρὸς ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος
52 εἶναι. ἐὰν δ᾽ ὑμᾶς ἀναμνήσας ἐπιδείξω, ὑπερβαίνων τούσδε τοὺς ἀγρίους, Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον, ἀλλ᾽ ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς οἰκίαις ἀνειλημμένος γέγονε, μὴ μόνον παρὰ τῷ Μισγόλᾳ μεμισθαρνηκότα αὐτὸν ἐπὶ τῷ σώματι ἀλλὰ καὶ παρ᾽ ἑτέρῳ καὶ πάλιν παρ᾽ ἄλλῳ, οὐκέτι δήπου φαίνεται ἡταιρηκώς, ἀλλὰ (μὰ τὸν Διόνυσον οὐκ οἶδ᾽ ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν) καὶ πεπορνευμένος· ὁ γὰρ εἰκῇ τοῦτο καὶ πρὸς πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ μοι τούτῳ δοκεῖ ἔνοχος εἶναι.

53 Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε καὶ τοῦτον ἐξέπεμψε, μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ

1. *Testimonia om.* A — 3. Εὐθυδικίου ab — 4. καθεζόμενος: δικαζόμενος m — 5. διέλιπον C — 6. εἰ μὲν .. ἔνοχος εἶναι Greg. Cor. W. VII 1185. — 7. παρέμεινε AM — ἦλθε A, ἧκε BM — 8. μετριώτερον m — 10. ἢ *om.* m — 13. ὑποδείξω m — 14. ἀγρίους Harp. 110. Greg. Cor., ἀγρίους ἄνδρας C — 16. ἀνηλειμμένος d — μὴ F, καὶ μὴ C — 18. παρ᾽ ἄλλῳ: *add.* C καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλυθότα, *del.* Rosenberg — φανήσεται οὖν οὐ μόνον ... πεπορνευμένος Hermog. W III 411 — 19. φαίνεται W, φαίνεται μόνον B, μόνον φαίνεται A, Thom. Mag. 129, 15 — ἀλλὰ Thom. Herm. I, ἀλλὰ καὶ C — 22. δοκεῖ τούτῳ AM — 24. ἐξέπεμψε W, ἐξέπεμψε ἀφ᾽ ἑαυτοῦ A, ἐξέπ. παρ᾽ ἑαυτοῦ B.



Μισγόλα Τίμαρχος οὑτοσί, οὐκ ἐνουθέτησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι [καὶ κυβεύουσιν]· ἤδη γὰρ οἶμαί τινας ἑωρακέναι, εἰ δὲ μή, ἀλλ᾽ ἀκηκοέναι γε. τῶν δὲ ἐκ τῆς διατριβῆς 54
ταύτης ἐστί τις Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. οὗτος εὐπορῶν ἀργυρίου καὶ ὁρῶν τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ ἀνέλαβεν αὐτὸν καὶ εἶχε παρ᾽ ἑαυτῷ. καὶ τοῦτ᾽ οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς οὑτοσί, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ᾽ εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν ἢ τῶν αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. καὶ τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα 55
γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου εἰς τὸ σῶμα τὸ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν· ἃ γὰρ οὑτοσὶ ἔργῳ πράττων οὐκ ᾐσχύνετο, ταῦτ᾽ ἐγὼ λόγῳ σαφῶς ἐν ὑμῖν εἰπὼν οὐκ ἂν ἐδεξάμην ζῆν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τούτους ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος, περὶ οὗ πάλαι εὖ οἶδ᾽ ὅτι θαυμάζετε διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος ὁ Ἡγήσανδρος ἀφικνεῖται, 56
ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλλήσποντον ταμίας Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ ἧκε δεῦρο ἀπολελαυκώς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ τρόπον τινὰ οὐχ ἥκιστα αἴτιος ἐγένετο

1. οὑτοσὶ d, οὑτοσὶν f, οὗτος B — 3. 4. εἰσβάλλουσι m — 4. τινας W, τινας ἐμῶν B, ὑμῶν τινας A — ἑωρακέναι: *add.* BM ἃ λέγω — 5. γε *om.* A — 6. ἄνθρωπος .. τῆς πόλεως *tuetur* Harp. 56, ἄνθρωπος δημόσιος D — 7. ὁρῶν AM, ἰδὼν B — 8. ταύτῃ *om.* m — 9. ταῦτ᾽ BM — οὗτος d — 11. οἰκέτην τῆς πόλεως *del.* D — 13. αἰσχίστων A — 14. ἁμαρτήματα: πράγματα d — 15. σῶμα τοῦ B — 17. οὑτοσὶ f, οὗτος B, αὐτὸς dM — 18. λόγῳ ab, λόγῳ μόνον x — 21. Ἡγησ. Ham., Ἡγησ. ὁ τοῦτον ἀνειληφώς C — 25. ταμίας ἅμα mM — 27. ἢ *om.* d. — 28. ἐγένετο οὗτος ab.

57 Τιμομάχῳ τῆς συμφορᾶς. ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ καὶ φοιτῶν ὡς τὸν Πιττάλακον συγκυβευτὴν ὄντα, ἐκεῖ τοῦτον ἰδὼν ἥσθη τε καὶ ἐπεθύμησε καὶ ἐβουλήθη ὡς αὑτὸν ἀναλαβεῖν καί πως ἡγήσατο [εἶναι αὐτὸν] ἐγγὺς τῆς αὑτοῦ φύσεως. πρῶτον μὲν οὖν τῷ Πιτταλάκῳ διελέχθη δεόμενος παραδοῦναι τοῦτον· ὡς δ' οὐκ ἔπειθεν, αὐτῷ τούτῳ προσβάλλει, καὶ οὐ πολὺν ἀνήλωσε λόγον ἀλλ' εὐθὺς ἐπεπείκει· καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἀπιστία, ὥστε καὶ ἐξ αὐτῶν τούτων

58 εἰκότως ἂν μισοῖτο. ὡς δ' ἀπήλλακτο μὲν παρὰ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο οἶμαι ὁ Πιττάλακος μάτην ὡς ᾤετο τὸ ἀργύριον ἀνηλωκώς, καὶ ἐζηλοτύπει τὰ γιγνόμενα καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου καὶ Τιμάρχου· μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ καὶ ἄλλοι τινὲς ὧν οὐ βούλομαι τὰ ὀνόματα

59 λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν, οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διερρίπτουν εἰς τὴν ὁδόν, ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς καὶ κύβους καὶ ἕτερά τιν' ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς οὕτω πολὺν χρόνον ὥστε καὶ τοὺς γείτονας αἰσθέσθαι τῆς κραυγῆς.

60 τῇ δ' ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τῆς μητρὸς τῶν θεῶν. ὄχλου δὲ συνδρα-

1. τοιαύτῃ: ταύτῃ τῇ A — 2. εἰσφοιτῶν A — 2. 3. ἐκεῖ τοῦτον ἰδὼν W, καὶ τοῦτον ἰδὼν ἐκεῖ πρῶτον AM, καὶ τοῦτον ἐκεῖ πρῶτον ἰδὼν B — 4. πῶς H, πῶς ἴσως C — αὐτὸν ἡγήσατο ἐγγὺς εἶναι AM — 6. ἔπειθεν Am, ἔπειθεν αὐτὸν abM — 7. τούτῳ om. A — ἀνάλωσε B — λόγον: χρόνον ab — 9. κακία A, κακία m, ἀκακία x — ἀπιστία l, εὐπιστία x — 10. παρὰ: ἀπὸ m — 12. ὥς γε ᾤετο A — τοσοῦτον ἀργύριον μάτην ὡς ᾤετο B, fort. ὡς μάτην τὸ ἀργύριον ἀνηλωκώς. — 14. ἠνόχλει d — 16. καὶ ἄλλοι τινὲς S, καὶ ἄλλοι τινὲς συγκυβευτῶν A, καὶ τῶν συγκυβευτῶν τινες καὶ ἄλλοι B, cf. § 60 — 19. τέ om. A — 20. καὶ κυβευτικὰ ἕτερα ὄργανα BM — 25. αἴσθεσθαι f — 28. τὸν τῆς A.



μόντος, οἷον εἴωθε γίγνεσθαι, φοβηθέντες ὁ Τίμαρχος καὶ ὁ Ἡγήσανδρος μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν, ἐπῄει δὲ ἐκκλησία, θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ καὶ τῶν συγκυβευτῶν τινες, καὶ 61

περιστάντες ἐδέοντο τοῦ Πιττάλακου ἀναστῆναι, λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν, καὶ αὐτὸς οὗτος, οὔπω μὰ Δία ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν ἀλλ' ἔτι χρήσιμος, ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πράξειν ἃ ἂν ἐκείνῳ συνδοκῇ. πέρας πείθουσιν ἀναστῆναι τὸν ἄνθρωπον ὡς τευξόμενόν τινος τῶν δικαίων. ὡς δ' ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, οὐκέτι προσεῖχον αὐτῷ τὸν νοῦν. βαρέως δὲ φέρων τὴν ὕβριν 62

αὐτῶν ὁ ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι δ' ἐδικάζετο, σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου· ἄνθρωπον οὐδὲν αὐτὸν ἠδικηκότα, ἀλλὰ τὸ ἐναντίον ἠδικημένον, οὐδὲν προσήκοντα αὐτῷ, ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν φάσκων ἑαυτοῦ εἶναι δοῦλον. ἐν παντὶ δὲ κακοῦ γενόμενος ὁ Πιττάλακος προσπίπτει ἀνδρὶ καὶ μάλα χρηστῷ. ἔστι τις Γλαύκων Χολαργεύς· οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ μετὰ τοῦτο λήξεις ἐποιήσαντο. προϊόντος δὲ τοῦ 63

χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τε ὄντι τοῦ Ἡγησάνδρου καὶ ἤδη ποτὲ καὶ χρησαμένῳ ὅτ' ἦν ἐν ἡλικίᾳ· παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ Διοπείθης ἀνεβάλλετο χαριζόμενος τούτοις χρόνους ἐκ χρόνων. ὡς δὲ παρῄειν ἐπὶ τὸ βῆμα τὸ 64

ὑμέτερον ὁ Ἡγήσανδρος, ὅτε καὶ προσεπολέμει Ἀριστο-

1. 2. ὅτε Ἡγ. καὶ ὁ Τίμαρχος B — 5. ἀναστῆναι .. γέγονεν Thom. 283 — 6. αὐτὸς δὲ B — 7. οὔπω A, οὐδέπω B — 8. χρήσιμος ὢν m — 10. τὸν ἄνθρωπον W, τὸν ἄνθρ. ἀπὸ τοῦ βωμοῦ AM, ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρ. B — 14. ἐδικάσατο A — σκέψασθε .. Ἡγησάνδρου del. Dahms, cf. 58 — 15. οὐδὲν A, μηδὲν B — αὐτῷ d — 16. οὐδὲν: οὐδὲ A — 17. οἰκ. τ. πόλ. del. D — 18. κακοῦ Blomfield, κακῷ C — 19. προσπίπτει πρὸς τὰ γόνατα Aa$^2$ — καὶ om. A — 19. 20. Γλαῦκος A — 21. λήξεις W, λήξεις δικῶν AM, δικῶν λήξεις B — 24. καὶ om. d — 25. ὁ om. m — 26. παρῄειν Cob., παρῄει m, παρῆν x — ἡμετ. A.

φῶντι τῷ Ἀζηνιεῖ, πρὶν αὐτῷ τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν, ἥνπερ ἐγὼ Τιμάρχῳ ἐπήγγειλα, καὶ ἐπειδὴ Κρωβύλος ὁ ἀδελφὸς αὐτοῦ ἐδημηγόρει καὶ ὅλως ἀπετόλμων ὑμῖν οὗτοι περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα δὴ καταμεμψάμενος αὐτὸν ὁ Πιττάλακος καὶ ἐκλογισάμενος, ὅστις ὢν πρὸς οὕστινας ἐπολέμει, εὖ ἐβουλεύσατο (δεῖ γὰρ τἀληθῆ λέγειν) ἡσυχίαν ἔχων, καὶ ἠγάπησεν εἴ τι μὴ προσλάβοι καινὸν κακόν. ἐνταῦθα δὴ τὴν καλὴν ταύτην νίκην νενικηκὼς ὁ Ἡγήσανδρος 65 ἀκονιτὶ εἶχε παρ' ἑαυτῷ Τίμαρχον τουτονί. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, πάντες ἴστε· τίς γὰρ ὑμῶν οὔπω ποτὲ εἰς τοὔψον ἀφῖκται καὶ τὰς δαπάνας τὰς τούτων τεθεώρηκεν; ἢ τίς τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δ', ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, κάλει μοι Γλαύκωνα τὸν Χολαργέα τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν Πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυρίας ἀναγίγνωσκε.

## ΜΑΡΤΥΡΙΑΙ.

66 [Μαρτυρεῖ Γλαύκων Τιμαίου Χολαργεύς. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν. χρόνῳ δ' ὕστερον ἐλθὼν πρὸς ἐμὲ Πιττάλακος ἔφη βούλεσθαι διαλυθῆναι τὰ πρὸς Ἡγήσανδρον, προσπέμψας αὐτῷ ἄρασθαι ἥν τε αὐτὸς ἐνεκαλέσατο Ἡγήσανδρον καὶ Τίμαρχον καὶ ἣν Ἡγήσανδρος τῆς δουλείας αὐτόν· καὶ διελύθησαν.

Ἀμφισθένης μαρτυρεῖ. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν, καὶ τὰ ἑξῆς.]

Οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλῶ τὸν Ἡγήσανδρον. 67 γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν ἢ τῷ Μισγόλᾳ. οὐκ ἀγνοῶ δ', ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν ἐπιδείξω, οἵους ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο, ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νόμους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. κάλει μοι τὸν Ἡγήσανδρον.

## ΜΑΡΤΥΡΙΑ.

[Ἡγήσανδρος Διφίλου Στειριεὺς μαρτυρεῖ. ὅτε κατέπλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιτταλάκῳ 68 τῷ κυβευτῇ διατρίβοντα τὸν Τίμαρχον τὸν Ἀριζήλου, καὶ ἐξ ἐκείνης τῆς γνώσεως ἐχρησάμην Τιμάρχῳ ὁμιλῶν τῇ αὐτῇ πράξει, ᾗ καὶ τὸ πρότερον Λεωδάμαντι.]

Οὐχ ἠγνόουν, ὅτι ὑπερόψεται τὸν ὅρκον, ὦ ἄνδρες, 69 ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνό γε πρόδηλόν ἐστιν, ὅτι, ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ. καὶ οὐδὲν μὰ Δία θαυμαστόν· ἀναβήσεται γὰρ οἶμαι δεῦρο πιστεύων τῷ ἑαυτοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος καὶ τὸν Λεωδάμαντα ὅστις

---

1. Ἀξηνιεῖ A — 1. 2. τὴν αὐτὴν .. ἥνπερ ἐγώ: τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγ. ἐν τῷ δήμῳ ἥνπερ ἐγὼ B, τὴν ἐν τῷ δήμῳ ἀπειλήσαιεν ἐπαγγ. ἐπαγγέλλει ὥσπερ ἐγώ *omisso deinceps* ἐπήγγειλα A — 3. Κρωβύλος m, Κρώβυλος abf, Κρώβουλος d — 4. ἐν ὑμῖν b, ἐν ἡμῖν A — οὗτοι a¹m, πρῶτοι οὗτοι x *quod non interpolatum sed corruptum esse apparet.* — 5. δὴ B, ἤδη A — ἑαυτὸν ab — 6. ὅστις A, τίς B — 7. τἀληθὲς A — ἔχων W, ἔχειν Aab, ἔσχε m — 8. εἰ μὴ Cob. — προσλάβῃ m — 10. τοῦτον A — 11. ἐγὼ ἀληθῆ A — ὑμῶν B, ὑμῶν οὗτος ὃς A, ὑμῶν ὃς M, *vitium nondum sanatum est.* — οὔπω ποτε W, οὐ πώποτε C — 12. τούτων W, τούτων οὐ C — 13. τίς a²b, τίς οὐ x — μοιχείαις C, μάχαις H, an νυκτομαχίαις? — 14. ἐπειδήπερ f — 15. τὸν *add.* F — 16. εἰς τὴν ἐλευθ. f — 17. ἑτέρων f, cf. Ctes. Proleg. 37. — 18. *Testimonia desunt* f. — 23. προσπέμψας R, προπέμψαι abd, καὶ προπέμψαι M, καὶ προσπέμψαι H. Wolf. — διάλυσιν τῆς δίκης εὕρασθαι R.

2. καὶ διελύθησαν ὡσαύτως C, *quod pertinet ad alterius testimonii propositionem, quare supra* μαρτυρίαι *non* μαρτυρία *praescriptum est.* — 6. καλῶ h, καλέσω x — 10. καλῶ W, καλῶ αὐτὸν f, αὐτὸν καλῶ x — 10. 11. ἀπεργάσεται b — 11. ταῦτο *om.* f — 14. τὸν *om.* f 15. *Testimonium deest* f — 16. Σπειριεὺς Bd — 20. πράξει R, ἄρσει C, χρήσει Emperius — 20. 21. Λεωδάμαντι d, Λαοδάμαντι x — 22. ἄνδρες W, Ἀθηναῖοι C — 23. γε A, δέ μοι B — 24. οὐ θέλει m — 25. οὐδὲν γοῦν θαυμαστὸν .. ὅστις ἐστὶν ἀγνοῶν Herod. Sp. III 90 — 26. οἶμαι A, ὑμῖν B — ἑαυτοῦ ab, αὐτοῦ x — 27. λαοδάμ. m.

ἦν οὐ γιγνώσκων, ἐφ' ᾧ ὑμεῖς ἐθορυβήσατε τῆς μαρτυ-
70 ρίας ἀναγιγνωσκομένης. ἆρά γε προαχθήσομαί τι σα-
φέστερον εἰπεῖν ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; εἴπατέ μοι
πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες, ὅστις ἂν αὐτὸν καταισχύνῃ
πρὸς Ἡγήσανδρον, οὐ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πε-
πορνεῦσθαι; ἢ τίνας ἂν οὐκ οἰόμεθ' ὑπερβολὰς ποιεῖ-
σθαι βδελυρίας παροινοῦντας καὶ μονουμένους; οὐκ οἴε-
σθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς τὸν
Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς ἅπαν-
τες σύνιστε, ὑπερήφανα τούτῳ ἐπιτάγματα ἐπιτάττειν,
ὡς ταῖς τούτου ὑπερβολαῖς αὐτὸν δόξοντα μέτρια δια-
71 πεπρᾶχθαι; ἀλλ' ὅμως ὄψεσθε, ὅτι καὶ μάλα ἐπιστρε-
φῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Κρω-
βύλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες ταῦτα μὲν
εἶναι πολλῆς ἀβελτερίας φήσουσιν, ἃ ἐγὼ λέγω, ἀξιώ-
σουσι δέ με μάρτυρας παρασχέσθαι διαρρήδην μαρτυ-
ροῦντας, ὅπου ἔπραττεν [ὅπως ἐποίει] ἢ τίς εἶδεν, ἢ
72 τίς ἦν ὁ τρόπος, πρᾶγμα, οἶμαι, ἀναιδὲς λέγοντες. οὐ
γὰρ ἔγωγε ὑπολαμβάνω οὕτως ὑμᾶς ἐπιλήσμονας εἶναι,
ὥστε ἀμνημονεῖν ὧν ὀλίγῳ πρότερον ἠκούσατε ἀναγι-
γνωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται, ἐάν τις μι-
σθώσηταί τινα Ἀθηναίων ἐπὶ ταύτην τὴν πρᾶξιν ἢ
ἐάν τις ἑαυτὸν μισθώσῃ, ἔνοχον εἶναι τοῖς μεγίστοις
καὶ τοῖς ἴσοις ἐπιτιμίοις. τίς οὖν οὕτω ταλαίπωρός
ἐστιν ἄνθρωπος, ὅστις ἂν ἐθελήσειε σαφῶς τοιαύτην
μαρτυρίαν μαρτυρῆσαι ἐξ ἧς ὑπάρχει αὐτῷ, ἐὰν τἀληθῆ

---

2. ἐξαχθήσομαι A, cf. § 37 — τι: ὅτι B — 4 Διὸς l, τοῦ Διὸς C — καὶ θεῶν Co, καὶ τῶν ἄλλων θεῶν C, cf. 87 et III 156 — ἄνδρες W, Ἀθηναῖοι C — ἂν add. W — καταισχύνῃ W, καταισχύνει A, κατήσχυνε B — 6. ἂν W, αὐτοὺς B (m rec. add.), om. A — οὐκ οἴεσθ' Baiter, fort. hoc restituto deinceps pro οὐκ οἴεσθε scribendum οὐ. — 10. τούτῳ A, τὰ B — 11. δόξοντα R, δόξαντα C — 12. ὅτι καὶ . . ῥητορικῶς Thom. 157 — μᾶλλον d — 13. 14. Κρωβύλος ab, Κρώβυλος x — 15. ἀβελτηρίας Bd — 15. 16. ἀξιοῦσι m — 17. ὅπως ἐποίει interpretamentum est proximae sententiae. — 19. ἔγωγε ὑπολαμβάνω B, οἶμαι ἔγωγε A — ὑμᾶς οὕτως AM — 20. ὧν om. AM — ἀκούσαντες AM — 22. ἀθηναίων abd, ἀθηναῖον x — 23. ἑαυτὸν ab, αὐτὸν x — 25. ἐθελήσει b.



μαρτυρήσῃ, ἐπιδεικνύναι ἔνοχον ὄντα ἑαυτὸν τοῖς ἐσχά-
τοις ἐπιτιμίοις; οὐκοῦν ὑπόλοιπόν ἐστι τὸν πεπονθότα 73
ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο κρίνεται, ὅτι ταῦτα πράξας
παρὰ τοὺς νόμους ἐδημηγόρει. βούλεσθε οὖν τὸ ὅλον
πρᾶγμα ἀφῶμεν καὶ μὴ ζητῶμεν; νὴ τὸν Ποσειδῶ κα-
λῶς ἄρα τὴν πόλιν οἰκήσομεν, εἰ ἃ αὐτοὶ ἔργῳ ἴσμεν
γιγνόμενα, ταῦτα ἐὰν μή τις ἡμῖν δεῦρο παρελθὼν
σαφῶς ἅμα καὶ ἀναισχύντως μαρτυρήσῃ, διὰ τοῦτο ἐπι-
λησόμεθα.

Σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων· ἀνάγκη δ' 74
ἴσως ἔσται παραπλήσια τὰ παραδείγματα εἶναι τοῖς
τρόποις τοῖς Τιμάρχου. ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν
οἰκημάτων καθημένους, τοὺς ὁμολογουμένως τὴν πρᾶ-
ξιν ταύτην πράττοντας. οὗτοι μέντοι ὅταν πρὸς τῇ
ἀνάγκῃ ταύτῃ γίγνωνται, ὅμως πρό γε τῆς αἰσχύνης προ-
βάλλονταί τι καὶ συγκλῄουσι τὰς θυρίδας. εἰ δή τις
ὑμᾶς ἔροιτο τῶν ὁδῷ πορευομένων, τί νῦν ὁ ἄνθρωπος
πράττει, εὐθὺς ἂν εἴποιτε τοῦ ἔργου τοὔνομα, οὐχ
ὁρῶντες τὸν εἰσεληλυθότα ὅστις ἦν, ἀλλὰ τὴν προαί-
ρεσιν τῆς ἐργασίας τοῦ ἀνθρώπου συνειδότες καὶ τὸ
πρᾶγμα γνωρίζοντες. οὐκοῦν τὸν αὐτὸν τρόπον προσ- 75
ήκει ὑμᾶς καὶ περὶ Τιμάρχου ἐξετάζειν καὶ μὴ σκοπεῖν
εἴ τις εἶδεν ἀλλ' εἰ πέπρακται τούτῳ ἡ πρᾶξις. ἐπεὶ
πρὸς θεῶν τί δεῖ λέγειν, Τίμαρχε, ἢ τί σὺ ἂν εἴποις
αὐτὸς περὶ ἑτέρου ἀνθρώπου ἐπὶ τῇ αἰτίᾳ ταύτῃ κρινο-
μένου; ἢ [τί χρὴ λέγειν] ὅταν μειράκιον νέον καταλιπὸν

---

1. μαρτυρῇ AM — ἐπιδεικνύειν m — ἑαυτὸν om. A — 2. ὑπόλοιπον: τὸ λοιπόν A — 5. ποσειδῶνα m — 5. 6. καλῶς a, κακῶς x — 7. ὑμῖν f, om. x — 8. αὐτὸς μαρτυρήσῃ A — 11. τὰ om. ab — 12. τοῦ Τιμ. A — 13. καθημένους A, καθεζομένους BM — 14. ταύτην om. BM — 15. = III 11. — 16. συγκλείουσι C — θυρίδας d, θύρας x — 17. ὑμᾶς hq, ὑμῶν C — τῶν . . πορευομένων W, τοὺς . . πορευομένους C — τί: ὅτι A — ὁ ἄνθρωπος W, οὗτος ὁ ἄνθρ. B, ὁ ἄνθρ. οὗτος AM — 18. εἴποιτε: λέγοιτο A — 18. 19. οὐχ ὁρῶντες: οὐκ εἰδότες A — 19. τὸν: καὶ τὸν A — 20. συνειδότες: εἰδότες A — 21. γνωρίζοντες: γνωρίζετε f, γνωρίζεται d — 22. καὶ om. am — 24. δεῖ: δὴ b, χρὴ A — ἢ τί σύ: τί A — 25. αἰτίᾳ ταύτῃ: αὐτῇ αἰτίᾳ AM.

τὴν πατρῴαν οἰκίαν ἐν ἀλλοτρίαις οἰκίαις νυκτερεύῃ,
τὴν ὄψιν ἑτέρων διαφέρον, καὶ πολυτελῆ δεῖπνα δειπνῇ
ἀσύμβολον καὶ αὐλητρίδας ἔχῃ καὶ ἑταίρας πολυτελε-
στάτας καὶ κυβεύῃ καὶ μηδὲν ἐκτίνῃ αὐτὸς ἀλλ᾽ ἕτερος
76 ὑπὲρ αὐτοῦ, ἔτι ταῦτα μαντείας προσδεῖται; οὐκ εὔδη-
λον ὅτι πᾶσα ἀνάγκη τὸν τὰ τηλικαῦτα ἐπιτάγματά
τισιν ἐπιτάττοντα καὶ αὐτὸν ἀντὶ τούτων ἡδονάς τινας
παρασκευάζειν τοῖς τὸ ἀργύριον προαναλίσκουσιν; οὐ
γὰρ ἔχω μὰ τὸν Δία τὸν Ὀλύμπιον τίνα τρόπον εὐφη-
μότερον μνησθῶ τῶν σοὶ καταγελάστως πεπραγμένων
ἔργων.

77 Θεωρήσατε δ᾽, εἰ βούλεσθε, τὸ πρᾶγμα καὶ ἐκ πο-
λιτικῶν τινων παραδειγμάτων, καὶ μάλιστα ἐκ τούτων
ἃ νυνὶ μετὰ χεῖρας ἔχετε. γεγόνασι διαψηφίσεις ἐν
τοῖς δήμοις καὶ ἕκαστος ὑμῶν ψῆφον δέδωκε περὶ τοῦ
σώματος ὅστις Ἀθηναῖος ὄντως ἐστὶ καὶ ὅστις μή. καὶ
ἔγωγε, ἐπειδὰν προσίω πρὸς τὸ δικαστήριον καὶ ἀκροά-
σωμαι τῶν ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ παρ᾽
78 ὑμῖν ἰσχύει. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος· „ἄνδρες
δικασταί, τουτουὶ κατεψηφίσαντο οἱ δημόται ὀμόσαν-
τες, οὐδενὸς ἀνθρώπων οὔτε κατηγορήσαντος οὔτε κατα-
μαρτυρήσαντος, ἀλλ᾽ αὐτοὶ συνειδότες,“ εὐθὺς οἶμαι
θορυβεῖτε ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως· οὐ-
δὲν γάρ, οἶμαι, δοκεῖ προσδεῖσθαι ἡμῖν λόγου οὐδὲ
79 μαρτυρίας ὅσα τις σαφῶς οἶδεν αὐτός. φέρε δὴ
πρὸς Διός, εἰ ὥσπερ περὶ τοῦ γένους, οὕτω καὶ
περὶ τοῦ ἐπιτηδεύματος τούτου ἐδέησε δοῦναι ψῆφον

1. νυκτερεύῃ ἐν ἀλλοτρίαις οἰκίαις AM — 2. ἑτέρας d — 5. αὐτοῦ: ἐκείνου A — ἔτι: τί A — τὰ om. d — 7. τινας: τισι B — 8. προαναλ. m, προσαναλ. x, cf. § 41 — 14. νῦν A — 15. ἡμῶν Am — 17. προσίω: προστῶ f, στῶ d — πρὸς: εἰς d — 19. ἰσχύει παρ᾽ ὑμῖν AM — 20. τούτου AM — 20. 21. ὀμόσαντος d — 21. ἀνθρώπου A — 21. 22. μαρτυρήσαντος BM — 23. θορυβεῖτε W, θορ. ὑμεῖς B, pronomen post εὐθὺς A — 23. 24. οὐθὲν bm, οὐδὲ d — 24. ὑμῖν C — λόγων AM — 25. αὐτὸς σαφῶς οἶδε d — 26. Διὸς m[1], τοῦ Διὸς x — εἰ om. b — 27. ψῆφον F, ψῆφον Τίμαρχον (Τιμάρχῳ m) C.



εἴτ᾽ ἔνοχός ἐστιν εἴτε μή, ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν
τῷ δικαστηρίῳ, εἰσήγετο δ᾽ εἰς ὑμᾶς ὥσπερ νυνί, μὴ
ἐξῆν δ᾽ ἐκ τοῦ νόμου ἢ τοῦ ψηφίσματος μήτε ἐμοὶ
κατηγορεῖν μήτε τούτῳ ἀπολογεῖσθαι, ὁ δὲ κῆρυξ ὁ
νυνὶ παρεστηκὼς ἐπηρώτα ὑμᾶς τὸ ἐκ τοῦ νόμου κή-
ρυγμα· „τῶν ψήφων ἡ τετρυπημένη, ὅτῳ δοκεῖ πε-
πορνεῦσθαι Τίμαρχον, ἡ δὲ πλήρης, ὅτῳ μή,“ τί ἂν
ἐψηφίσασθε; ἀκριβῶς οἶδ᾽ ὅτι κατέγνωτ᾽ ἂν αὐτοῦ.
εἰ δή τις με ἔροιτο ὑμῶν· „σὺ δὲ τί οἶσθα, εἰ ἡμεῖς ἂν 80
τούτου κατεψηφισάμεθα;“ εἴποιμ᾽ ἄν· „διότι ἐπαρ-
ρησιάσασθέ μοι καὶ διείλεχθε.“ καὶ ὁπότε καὶ ὅπου
ἕκαστος, ἐγὼ ὑμᾶς ὑπομνήσω. ὅταν οὑτοσὶ ἀναβῇ ἐπὶ
τὸ βῆμα (καὶ ὅτε ἐβούλευε) ἐὰν μνησθῇ τειχῶν ἐπι-
σκευῆς ἢ πύργου ἢ ὡς ἀπήγετό που τις, εὐθὺς βοᾶτε
καὶ γελᾶτε καὶ αὐτοὶ λέγετε τὴν ἐπωνυμίαν τῶν ἔργων
ὧν σύνιστε αὐτῷ. καὶ τὰ μὲν παλαιὰ ἐάσω, τὰ δὲ ἐν 81
αὐτῇ τῇ ἐκκλησίᾳ γενόμενα, ὅτε ἐγὼ τὴν ἐπαγγελίαν
ταύτην Τιμάρχῳ ἐπήγγειλα, ταῦθ᾽ ὑμᾶς ἀναμνῆσαι βού-
λομαι. τῆς γὰρ βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ πρόσοδον
ποιουμένης πρὸς τὸν δῆμον κατὰ τὸ ψήφισμα τὸ τού-
του, ὃ εἰρήκει περὶ τῶν οἰκήσεων τῶν ἐν τῇ Πυκνί, ἦν
μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν Ἀρεοπαγιτῶν Αὐτόλυκος,
καλῶς νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ σεμνῶς καὶ
ἀξίως ἐκείνου τοῦ συνεδρίου βεβιωκώς· ἐπειδὴ δέ που 82
προϊόντος τοῦ λόγου εἶπεν ὅτι τὸ εἰσήγημα τὸ Τιμάρχου
ἀποδοκιμάζει ἡ βουλή, „καὶ περὶ τῆς ἐρημίας ταύτης

1. ἔνοχος: ἔναγχος B — 2. νῦν AM — 3. ἔκ του a — τοῦ om. B — 4. ὁ: οὑτοσὶ Ab, οὑτοσὶν ὁ h — 5. νυνὶ παρεστηκὼς W, νυνὶ παρ. ἐμοὶ B, νῦν ἐμοὶ παρεστηκώς A, cf. III 120 — 7. Τίμαρχος AM — 8. ἀκριβῶς A, ἀκριβῶς εὖ B — 9. δή: δὲ dm — τί δὲ σὺ A — ὑμᾶς d — 11. ποῦ B — 12. ἐγὼ ὑμῖν ἐρῶ A — 12. 13. ἀναβῇ ἐπὶ τὸ βῆμα W, ἐν τῷ δήμῳ ἀναβῇ ἐπὶ τὸ βῆμα A, ἀναβῇ ἐπὶ τὸ βῆμα ἐν τῷ βῆμα B — 13. καὶ ἡ βουλή C, om. Tur. — ἐβούλευε: add. BM πέρυσιν — ἐὰν W, ἢ ἐὰν Mm, ὅταν Aab — μνησθῇ: ἐμνήσθη d — 13. 14. κατασκευῆς m — 14. ποι R — 14. 15. βοᾶτε . γελᾶτε . λέγετε W, ἐβοᾶτε . ἐγελᾶτε . ἐλέγετε C — 16. παλαιά: πολλὰ καὶ παλαιὰ A — 20. 21. τὸ τούτου om. d — 21. ὃ A, ὁ οὗτος BM — πύκνηι f, πυκνί x — 23. τὸν Δία A, τὸν Δία τὸν Ὀλύμπιον BM ex 76, cf. 88. 108 — 24. τοῦ συνεδρίου ἐκείνου A — 25. ὅτι τὸ B, ὅτι τό γε A.

καὶ τοῦ τόπου τοῦ ἐν τῇ Πυκνὶ μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου," ἀνεθορυβήσατε ὑμεῖς ἐνταῦθα καὶ ἔφατε τὸν Αὐτόλυκον ἀληθῆ λέγειν· εἶναι γὰρ τοῦτον
83 τοιούτων ἔμπειρον. ἀγνοήσας δ' ὑμῶν τὸν θόρυβον ὁ Αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν· „ἡμεῖς μέν, ὦ Ἀθηναῖοι, οἱ Ἀρεοπαγῖται οὔτε κατηγοροῦμεν Τιμάρχου οὔτε ἀπολογούμεθα, οὐ γὰρ ἡμῖν πάτριόν ἐστιν, ἔχομεν δὲ τοιαύτην τινὰ συγγνώμην Τιμάρχῳ· οὗτος ἴσως" ἔφη „ᾠήθη ἐν τῇ ἡσυχίᾳ ταύτῃ μικρὸν ὑμῶν ἑκάστῳ ἀνάλωμα γίγνεσθαι·" καὶ πάλιν ἐπὶ τῇ ἡσυχίᾳ καὶ τῷ μικρῷ ἀναλώματι μείζων ἀπήντα
84 παρ' ὑμῶν μετὰ γέλωτος θόρυβος. ὡς δ' ἐπεμνήσθη τῶν οἰκοπέδων καὶ τῶν λάκκων, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἐδύνασθε. ἔνθα δὴ καὶ παρέρχεται Πύρρανδρος ἐπιτιμήσων ὑμῖν, καὶ ἤρετο τὸν δῆμον εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρούσης τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου. ὑμεῖς δ' ἐξεβάλετε αὐτὸν ὑπολαβόντες· „ἴσμεν, ὦ Πύρρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρα-
85 τεῖ τῶν ἀνθρωπίνων λογισμῶν." ταύτην ἐγὼ ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆσθαι ὑμῖν ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων, ὃν ἁλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει. οὐκοῦν ἄτοπον, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μηδὲν μὲν ἐμοῦ λέγοντος αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέγοντος ἐπιλέλησθε, καὶ μὴ

1. ἔφη ὦ ἀθην. bf, ὦ ἀθ. ἔφη d — 4. τἀληθῆ b — τοῦτον W, τούτων f, αὐτὸν Bd — 5. τοιούτων ἔμπειρον W, τούτων (τοῦτον f) ἔμπειρον A, ἔμπειρον τούτων ab, ἔμπειρον m — τὸν: τὸ ab — ὁ om. A, an fuerat Αὐτόλυκος? — 7. μὲν W, μέντοι ἔφη A, τοι B — 9. τινὰ om. A — 10. ἔφη ἴσως m — 11. ἡμῶν d — καὶ om. ab — 15. ἐδύνασθε l, ἠδύνασθε ab, ἐδυνήθητε x — ἔνθα δὴ B, ἔνθεν AM, ἀπέρχεται m — 17. ἐν ἀρείῳ πάγῳ $a^1$m — 18. ὑμεῖς δ' ... λογισμῶν Stob. Flor. XI 16 — ἐξεβάλετε Stob. abdm$^2$, ἐξεβάλλετε x — ὑπολαμβάνοντες f Stob. — οἴδαμεν f — 19. πύρανδρε Stob. d — 20. 21. ἐπικρατεῖν Stob. d — 22. τὴν om. f — 23. τοῦ f, τῶν x — ὃν F, ἣν C — 24. ἄτοπον A, ἄτοπον ἂν εἴη B — ἄνδρες add. W.



γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος ἧλω ἄν, γεγονότος δὲ ἐλέγχου ἀποφεύξεται.

Ἐπειδὴ δὲ ἐμνήσθην τῶν διαψηφίσεων καὶ τῶν 86
Δημοφίλου πολιτευμάτων, βούλομαι καὶ ἄλλο παράδειγμα περὶ τούτων εἰπεῖν. ὁ γὰρ αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι τοιοῦτο πολίτευμα ἐπολιτεύσατο. ᾐτιάσατό τινας εἶναι οἵπερ ἄρα ἐνεχείρουν συνδεκάζειν τὴν ἐκκλησίαν καὶ τἆλλα δικαστήρια, ὥσπερ καὶ νυνὶ Νικόστρατος· καὶ περὶ τούτων κρίσεις αἱ μὲν γεγόνασιν, αἱ δὲ ἐνεστᾶσιν ἔτι. φέρε δὴ πρὸς Διὸς καὶ θεῶν, εἰ ἐπὶ τὴν αὐτὴν 87
ἐτράποντο ἀπολογίαν ἥνπερ Τίμαρχος νυνὶ καὶ οἱ συναγορεύοντες αὐτῷ, καὶ ἠξίουν διαρρήδην τινὰ μαρτυρεῖν περὶ τῆς αἰτίας ἢ τοὺς δικαστὰς μὴ πιστεύειν, πᾶσα δήπου ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν τὸν μὲν ὡς ἐδέκαζε, τὸν δὲ ὡς ἐδεκάζετο, προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου, ὥσπερ ἐνθάδ', ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν ἐάν τις Ἀθηναίων ἐπὶ τῇ τοῦ σώματος αἰσχύνῃ ἑκὼν μισθαρνῇ. ἔστιν οὖν ὅστις ἐμαρτύρησεν ἢ ἐνεχείρησε 88
τοιαύτην τὴν ἀπόδειξιν τοῦ πράγματος; οὐ δῆτα. τί οὖν; ἀπέφυγον οἱ κρινόμενοι; μὰ τὸν Ἡρακλέα, ἐπεὶ θανάτῳ ἐζημιώθησαν, πολὺ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω ἔλαττον ἁμάρτημα ἡμαρτηκότες τουτουὶ τοῦ ἀνθρώπου. ἐκεῖνοι μέν γε οἱ ταλαίπωροι οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν ὑπενεγκεῖν, τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν, ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς, οὗτος δ' οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν.

2. φεύξεται d — 3. ἐπεὶ ab — καὶ om. d — 4. καὶ ἄλλο W, τι καὶ ἄλλο A, καὶ ἄλλο τι B — 5. αὐτὸς οὗτος: τοσοῦτος am — 6. τοιοῦτον d — 7. οἵπερ: οἳ f — 8. νῦν A — 9. γεγόνασιν W, πάλαι γεγόνασιν A, ἐγένοντο πάλαι B cf. ad § 92 — 9. 10. νῦν ἐνεστᾶσιν ἔτι A, νεωστὶ νῦν ἔτ' εἰσὶ B, νῦν del. W — 10. Διὸς W, τοῦ Διὸς C, cf. 70. 78. — θεῶν f, τῶν θεῶν x — 12. τινὰ om. B — 13. πᾶσα A, ἅπασα B — 16. ἐάν τις — 17. πάλιν om. $a^1$bm — 19. ὅστις ἂν B — ἢ W, ἢ κατήγορος A, ἢ κατήγορος ὃς B — 20. τὴν ἀπόδειξιν W, ποιεῖσθαι τὴν ἀπόδειξιν A, ἀπόδειξιν ποιεῖσθαι B — 21. ἐπεὶ om. $a^1$m — 23. τούτου A — 24. γε: τοι d — οὐ: μὴ d — 25. ὑπενεγκεῖν: ἀμύνεσθαι f.

89 Εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν οὑτοσὶ ἐν πόλει ἐκκλήτῳ, ὑμᾶς ἂν ἔγωγε ἠξίωσα μάρτυράς μοι γενέσθαι, τοὺς ἄριστα εἰδότας, ὅτι ἀληθῆ λέγω· εἰ δ' ὁ μὲν ἀγών ἐστιν Ἀθήνησιν, οἱ δ' αὐτοὶ δικασταί καὶ μάρτυρές ἐστε τῶν λόγων, ἐμοὶ μὲν ἀναμιμνήσκειν προσήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν. καὶ γάρ τοι δοκεῖ οὑτοσὶ οὐχ ὑπὲρ αὑτοῦ μόνον ἐσπουδακέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων

90 τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ. εἰ γὰρ ἡ μὲν πρᾶξις αὕτη ἔσται, ὥσπερ εἴωθε γίγνεσθαι, λάθρα καὶ ἐν ἐρημίᾳ καὶ ἐν ἰδίαις οἰκίαις, ὁ δὲ ἄριστα μὲν εἰδώς, καταισχύνας δέ τινα τῶν πολιτῶν, ἐὰν τἀληθῆ μαρτυρήσῃ, ἔνοχος ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις, ὁ δὲ κρινόμενος καταμεμαρτυρημένος ὑπὸ τοῦ βίου καὶ τῆς ἀληθείας ἀξιώσει μὴ ἐξ ὧν γιγνώσκεται ἀλλ' ἐκ τῶν μαρτυριῶν κρίνεσθαι, ἀνῄρηται ὁ νόμος καὶ ἡ ἀλήθεια, καὶ δέδεικται φανερὰ ὁδὸς δι' ἧς οἱ τὰ μέγιστα κακουργοῦντες ἀποφεύξονται.

91 τίς γὰρ ἢ τῶν λωποδυτῶν ἢ τῶν μοιχῶν ἢ τῶν ἀνδροφόνων ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούντων, λάθρα δὲ τοῦτο πραττόντων δώσει δίκην; καὶ γὰρ τούτων οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες, ἂν μὲν ὁμολογῶσι, παραχρῆμα θανάτῳ ζημιοῦνται, οἱ δὲ λαθόντες καὶ ἔξαρνοι γενόμενοι κρίνονται ἐν τοῖς δικαστηρίοις. [εὑρίσκεται γὰρ ἡ ἀλήθεια ἐκ τῶν εἰκότων.]

92 Χρήσασθε δὴ παραδείγματι τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, τῷ ἀκριβεστάτῳ συνεδρίῳ τῶν ἐν τῇ πόλει. πολλοὺς γὰρ ἤδη ἔγωγε τεθεώρηκα ἐν τῷ βουλευτηρίῳ

---

1. οὗτος A — 2. τούς: ὡς? — 4. δικασταὶ W, μοι δικασταὶ A, δικασταί μοι B — 6. γάρ τοι W, γάρ μοι B, γὰρ ἔμοιγε A — οὑτοσὶ W, Τίμαρχος οὑτοσί B, Τίμαρχος A — 7. post μόνον in B ὦ Ἀθηναῖοι idemque in A post Τίμαρχος. — 8. εἰ: εἰ μὲν b — 9. ἐρημίαις A — 10. καταισχύνων A — 11. τινας B — μαρτυρῇ A — 13. τοῦ βίου W, τοῦ ἑαυτοῦ βίου A, τοῦ βίου τοῦ ἑαυτοῦ B — 14. τῶν om. A — μαρτύρων A — 15. ἀνῄρητ' ἂν B — 17. λωποδυτῶν: add. AM ἢ τῶν κλεπτῶν — 19. μὲν om. m — 20. ἂν Am, ἐὰν ab — 21. τῷ θανάτῳ A — γινόμενοι A — 22. γάρ: δὲ A — 24. δὲ A — τοῦ ἐξ m — 25. τῶν om. d — 26. ἔγωγε A, ἔγωγ' ἔναγχος B, quod adiectum est ut perfecti temporis (τεθεώρηκα) ratio explicaretur, velut πάλαι et deinceps νῦν § 86.



τούτῳ εὖ πάνυ εἰπόντας καὶ μάρτυρας πορισαμένους ἁλόντας, τινὰς δὲ κακῶς πάνυ διαλεχθέντας καὶ πρᾶγμα ἀμάρτυρον ἔχοντας οἶδα νικήσαντας. οὐ γὰρ ἐκ τοῦ λόγου μόνου οὐδ' ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐξ ὧν αὐτοὶ συνίσασι καὶ ἐξητάκασι, τὴν ψῆφον φέρουσι. τοιγάρτοι διατελεῖ τοῦτο τὸ συνέδριον εὐδοκιμοῦν ἐν τῇ πόλει.
τὸν αὐτὸν τοίνυν τρόπον, ὦ ἄνδρες, καὶ ὑμεῖς τὴν κρίσιν 93
ταύτην ποιήσασθε, καὶ πρῶτον μὲν μηδὲν ὑμῖν ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ Τιμάρχου τουτουί, ἔπειτα τὸ πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ παρόντος ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου. οἱ μὲν γὰρ ἐν τῷ παρεληλυθότι χρόνῳ λόγοι λεγόμενοι περὶ Τιμάρχου καὶ τῶν τούτου ἐπιτηδευμάτων διὰ τὴν ἀλήθειαν ἐλέγοντο, οἱ δ' ἐν τῇδε τῇ ἡμέρᾳ ῥηθησόμενοι διὰ τὴν κρίσιν τῆς ὑμετέρας ἀπάτης ἕνεκα. ἀπόδοτε οὖν τὴν ψῆφον τῷ πλείονι χρόνῳ καὶ τῇ ἀληθείᾳ καὶ οἷς αὐτοὶ ὑμεῖς σύνιστε.

Καίτοι λογογράφος γέ τις φησίν, ὁ μηχανώμενος 94
αὐτοῖς τὴν ἀπολογίαν, ἐναντία με λέγειν ἐμαυτῷ. οὐ γὰρ δὴ δοκεῖ εἶναι αὐτῷ δυνατὸν τὸν αὐτὸν ἄνθρωπον πεπορνεῦσθαί τε καὶ τὰ πατρῷα κατεδηδοκέναι· τὸ μὲν γὰρ ἡμαρτηκέναι τι περὶ τὸ σῶμα παιδὸς εἶναί φησι, τὸ δὲ τὰ πατρῷα κατεδηδοκέναι ἀνδρός. ἔτι δὲ τοὺς καταισχύνοντας αὑτοὺς μισθούς φησι πράττεσθαι τοῦ πράγματος. ἀποθαυμάζων οὖν περιέρχεται καὶ τερατευόμενος κατὰ τὴν ἀγοράν, εἰ αὐτὸς πεπόρνευταί τε καὶ τὰ πατρῷα
κατεδήδοκεν. εἰ δέ τις ἀγνοεῖ ταῦθ' ὅπως ἔχει, ἐγὼ 95
σαφέστερον αὐτὰ πειράσομαι διορίσαι τῷ λόγῳ. ἕως μὲν γὰρ ἀντήρκει ἡ τῆς ἐπικλήρου οὐσία, ἣν ὁ Ἡγήσαν-

---

2. τινὰς δὲ W, ἤδη τινὰς δὲ A, ἤδη τινας b, ἤδη δέ τινας x — πάνυ κακῶς B — καὶ — 3. ἔχοντας om. a¹m — 4. μόνου W, μόνον C — μαρτύρων A — 5. συνίσασι A, ἴσασι B, cf. § 78 — ἐξητήκασι? — 7. ἄνδρες W, Ἀθηναῖοι C — 8. ποιήσεσθε f — καὶ om. m — ὑμῖν μηδὲν A — 10. τουτουΐ Bake, τούτου C — 12. λεγόμενοι λόγοι d — 14. λόγοι ῥηθησόμενοι A — 15. ἕνεκα fb, εἵνεκα x — 17. ὑμεῖς om. Ab — 18. καίτοιγε m — 19. τὴν om ab — 20. δὴ om. b — 21. τε add. Bait. — 24. αὑτοὺς ab, ἑαυτοὺς x — 26. αὐτός: οὗτος d, ὁ αὐτὸς x — πεπόρνευκε f — 29. ἣν ὁ ab, ἣν x.

δρος ὁ τοῦτον ἔχων ἔγημε, καὶ τὸ ἀργύριον ὃ ἦλθεν ἔχων ἐκ τῆς μετὰ Τιμομάχου ἀποδημίας, ἦσαν ἐπὶ πολλῆς ἀσελγείας καὶ ἀφθονίας. ἐπειδὴ δὲ ταῦτα μὲν ἀπωλώλει καὶ κατεκεκύβευτο καὶ κατωψοφάγητο, οὑτοσὶ δ' ἔξωρος ἐγίγνετο, ἐδίδου δ' εἰκότως οὐδεὶς ἔτι οὐδὲν, ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος ἀεὶ τῶν αὐτῶν ἐπεθύμει καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε
96 καὶ ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος, ἐνταῦθα δὴ ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν. καὶ οὐ μόνον κατέφαγε, ἀλλ' εἰ οἷόν τ' ἐστὶν εἰπεῖν, καὶ κατέπιεν. καὶ γὰρ οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων ἀπεδίδοτο, οὐδ' ἐδύνατ' ἀναμένειν τὸ πλέον οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη εὑρισκομένου ἀπεδίδοτο· οὕτως
97 ἠπείγετο πρὸς τὰς ἡδονάς. τούτῳ γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν ἀφ' ἧς ἕτερος μὲν κἂν ἐλειτούργει, οὗτος δὲ οὐδ' αὑτῷ διαφυλάξαι ἐδυνήθη· οἰκίαν μὲν ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ Σφηττοῖ, Ἀλωπεκῆσι δ' ἕτερον χωρίον, χωρὶς δὲ οἰκέτας δημιουργοὺς τῆς σκυτοτομικῆς τέχνης ἐννέα ἢ δέκα, ὧν ἕκαστος τούτῳ δύ' ὀβολοὺς ἀποφορὰν ἔφερε τῆς ἡμέρας, ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου τριώβολον· ἔτι δὲ πρὸς τούτοις γυναῖκα ἀμόργινα ἐπισταμένην ἐργάζεσθαι [καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρουσαν] καὶ ἄνδρα ποικιλτὴν, καὶ ὀφείλοντάς τινας αὐτῷ
98 ἀργύριον, καὶ ἔπιπλα. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα μέντοι νὴ Δία σαφῶς πάνυ καὶ διαρρήδην ἐγὼ μαρτυροῦντας ὑμῖν τοὺς μάρτυρας παρέξομαι. οὐδεὶς γὰρ κίνδυνος ὥσπερ ἐκεῖ, οὐδ' αἰσχύνη πρόσεστιν οὐδεμία

1. 2. ἔχων ἦλθεν AM, cf. Dem. 59, 49. 55. 58. 59. 65. — 2. Τιμάχου m — 3. δὲ om. m — ἀπολώλει d — 5. ἐγίνετο Ab, ἐγένετο x — ἔτι om. A — 6. ἀεὶ W, ἀεὶ τούτου A, ἡ τούτου ἀεὶ B — 8. ἤδη AM — 10. κατέφαγε A, κατέφαγε τὰ πατρῷα B — εἰ om. d — 12. ἀπέδοτο B — 13. εὑρισκομένου Aab, εὑρίσκοντος m — 14. ἀπήγετο abf, post hoc verbum cum A σφόδρα omittendum duxi. — 15. ἀφ': ἐφ' Am — κἂν Co, ἂν A, ἂν καὶ B — 16. αὑτῷ: αὐτὴν d — μὲν f[1], μὲν γὰρ x — 19. τούτων m — 19. 20. ἀποφορὰν ἔφερε B, ἀπέφερε AM — 22. καὶ ἔργα λεπτὰ deinde ἐκφέρουσαν del. Co. — 24. καὶ ὅτι f, ὅτι δὲ x — 25. ἐγὼ B, ἔργῳ A. — 27. προσέσται A.



τῷ τἀληθῆ μαρτυροῦντι. τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει ἀπέδοθ' οὗτος Ναυσικράτει τῷ κωμικῷ, ὕστερον δ' αὐτὴν ἐπρίατο παρὰ τοῦ Ναυσικράτους εἴκοσι μνῶν Κλεαίνετος ὁ χοροδιδάσκαλος· τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ Μνησίθεος ὁ Μυρρινούσιος, τόπον μὲν πολὺν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τούτου· τὸ δ' Ἀλωπεκῆσι χωρίον, 99
ὃ ἦν ἄπωθεν τοῦ τείχους ἕνδεκα ἢ δώδεκα στάδια, ἱκετευούσης καὶ ἀντιβολούσης τῆς μητρὸς, ὡς ἐγὼ πυνθάνομαι, ἐᾶσαι καὶ μὴ ἀποδόσθαι, ἀλλ' εἰ μή τι ἄλλο, ἐνταφῆναι ὑπολιπεῖν αὐτῇ, οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν. καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλ' ἅπαντα πέπρακε. καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ μάρτυρας παρέξομαι, οὗτος δ' εἰ μὴ φησὶ πεπρακέναι, τὰ σώματα τῶν οἰκετῶν ἐμφανῆ παρεχέτω. ὡς δὲ καὶ ἀργύριόν τισιν ἐδάνεισεν, ὃ 100
κομισάμενος οὗτος ἀνήλωκε, μάρτυρα παρέξομαι Μεταγένην τὸν Σφήττιον, ὃς ὠφείλησε μὲν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς, ὃ δ' ἦν ὑπόλοιπον τελευτήσαντος τοῦ πατρὸς, τούτῳ ἀπέδωκεν ἑπτὰ μνᾶς. καί μοι κάλει Μεταγένην τὸν Σφήττιον. πασῶν δὲ πρώτην ἀνάγνωθι τὴν Ναυσικράτους μαρτυρίαν τοῦ τὴν οἰκίαν πριαμένου· καὶ τὰς ἄλλας ἁπάσας λαβὲ περὶ ὧν ἐμνήσθην ἐν ταὐτῷ λόγῳ.

## ΜΑΡΤΥΡΙΑΙ.

Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ 101
ὀλίγον, ὃ οὗτος ἠφάνικε, τοῦθ' ὑμῖν ἐπιδείξω. φοβη-

1. ἀληθῆ B — 2. ἀπέδοτο Am — κωμικῷ W, add. A ποιητῇ. B ὑποκριτῇ — 3. κλεαινέτης a[1]m — 5. μνησόθεος d — 7. ἄπωθεν bd, ἄποθεν x — 10. αὐτὴν B — οὐδὲ — χωρίου: τοῦτο τὸ χωρίον οὐκ A — 12. 13. ἀλλ' ἅπαντα ab, ἀλλ' ἅπαντας m, ἀλλὰ πάντας A — 14. μαρτυρίας B — 15. φήσει ab — 16. παρεχέτω A, παρεχέσθω B, παρασχέσθω M — 16. τὸ ἀργ. m — ἐδάνεισεν B, ἐδάνειζεν A — 17. 18. Μεταγένην W, μεταγένη ὑμῖν B, ὑμῖν μεταγένην h, ὑμῖν μεταγένη A — 18. ὠφείλησε μὲν: ὠφείλησεν Thom. 260 — 20. τούτου A — μνᾶς: add. C Τιμάρχῳ, del. F — 21. πρῶτον f[1] — 23. ταὐτῷ: τῷ f, αὐτῷ τῳ h, τῷ αὐτῷ x.

θεὶς γὰρ τὰς λειτουργίας ἀπέδοτο ἃ ἦν αὐτῷ κτήματα ἄνευ τῶν ἀρτίως εἰρημένων, χωρίον Κηφισιᾶσιν, ἕτερον [ἀγρὸν] Ἀμφιτροπῆσιν, ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις,
102 ἓν μὲν ἐν Αὐλῶνι, ἕτερον δ' ἐπὶ Θρασύλλῳ. ὅθεν δὲ ταῦτ' εὐπόρησεν, ἐγὼ ἐρῶ. ἦσαν οὗτοι τρεῖς ἀδελφοί, Εὐπόλεμός τε ὁ παιδοτρίβης καὶ Ἀρίζηλος ὁ τούτου πατὴρ καὶ Ἀρίγνωτος, ὃς ἔτι καὶ νῦν ἔστι, πρεσβύτης διεφθαρμένος τοὺς ὀφθαλμούς. τούτων πρῶτος ἐτελεύτησεν Εὐπόλεμος, δεύτερος δ' Ἀρίζηλος ὁ Τιμάρχου πατήρ· ὅτε δ' ἔζη, πᾶσαν τὴν οὐσίαν διεχείριζε διὰ τὴν ἀσθένειαν καὶ τὴν συμφορὰν τὴν περὶ τὰ ὄμματα τοῦ Ἀριγνώτου καὶ διὰ τὸ τετελευτηκέναι τὸν Εὐπόλεμον, καί τι καὶ εἰς τροφὴν συνταξάμενος ἐδίδου τῷ Ἀριγνώτῳ.
103 ἐπεὶ δὲ καὶ ὁ Ἀρίζηλος ἐτελεύτησεν ὁ Τιμάρχου τουτουὶ πατήρ, τοὺς μὲν πρώτους χρόνους, ἕως παῖς ἦν οὗτος, πάντα τὰ μέτρια ἐγίγνετο τῷ Ἀριγνώτῳ· ἐπειδὴ δ' ἐνεγράφη Τίμαρχος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ κύριος ἐγένετο τῆς οὐσίας, παρωσάμενος ἄνδρα πρεσβύτην καὶ ἠτυχηκότα, θεῖον ἑαυτοῦ, τήν τε οὐσίαν ἠφάνισε καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ Ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν ἐκ τοσαύτης οὐσίας ἐν τοῖς ἀδυνάτοις μισθο-
104 φοροῦντα. καὶ τὸ τελευταῖον, ὃ καὶ δεινότατον, ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γιγνομένης τοῖς ἀδυνάτοις δοκιμασίας, καὶ ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὢν καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν οὐκ ἠξίωσεν αὐτῷ συνειπεῖν, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Ἀρίγνωτον τὸν Σφήττιον καὶ τὴν μαρτυρίαν ἀναγίγνωσκε.

---

2. χωρίων A — 3. ἀγρὸν *del.* Co — ἀργυρίοις d — 4. ἐν *del.* Co — θρασύλῳ d, θρασυλάῳ f[1] — 6. κἀρίζηλος d — 7. ἔτι : ἐστι AM — ἔστι *om.* AM — 9. Εὐπόλεμος W, *ante hoc nomen add.* A, *post idem nomen* B: ἀνεμήτου τῆς οὐσίας οὔσης — δεύτερον B — 10. ἐνεχείριζε (διε- *superscr.*) d — 11. ἀσθένειαν B, νόσον A — 14. ἐπειδὴ A — ὁ τοῦ τιμάρχου d, *fort.* τιμάρχου *delendum.* — τούτου A — 16. πάντα A, ἅπαντα B — ἐγίγνετο W, ἐγίνετο παρὰ τῶν ἐπιτρόπων B, παρὰ τῶν ἐπιτρόπων ἐγίνετο AM — 17. Τίμαρχος h, Τίμ. οὗτος C — 19. ἠφάνικε B — 24. καὶ *add. Vulg. ante* Bkk. — 28. μοι καὶ B — τὸν *add.* BM.



## ΜΑΡΤΥΡΙΑ.

Ἀλλ' ἴσως αν τις εἴποι ὡς ἀποδόμενος τὴν πα- 105
τρῴαν οἰκίαν ἑτέραν ἄλλοθί που τοῦ ἄστεος ἐκτήσατο, ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι καὶ τῶν δημιουργῶν καὶ τῶν ἄλλων εἰς τἀργύρειά τι κατεσκευάσατο, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. ἀλλ' οὐκ ἔστι τούτῳ λοιπὸν οὐδέν, οὐκ οἰκία οὐ συνοικία, οὐ χωρίον οὐκ οἰκέται, οὐ δάνεισμα οὐκ ἄλλ' οὐδὲν ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν. ἀλλὰ τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία συκοφαντία, θράσος τρυφή, δειλία ἀναίδεια, τὸ μὴ ἐπίστασθαι ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχροῖς· ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης γένοιτο.

Οὐ τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ 106
τὰ κοινὰ τὰ ὑμέτερα, ὅσων πώποτε κύριος γέγονεν. οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων ἣν ὑμεῖς ὁρᾶτε, οὐκ ἔστιν ἥντινα πώποτ' οὐκ ἦρξεν ἀρχήν, οὐδεμίαν λαχὼν οὐδὲ χειροτονηθεὶς ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. ὧν τὰς μὲν πλείστας παρήσω, δυοῖν δ' ἢ τριῶν μόνον
μνησθήσομαι. λογιστὴς γὰρ γενόμενος πλεῖστα μὲν τὴν 107
πόλιν ἔβλαψε δῶρα λαμβάνων παρὰ τῶν οὐ δικαίως ἀρξάντων, μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. ἦρξε δ' ἐν Ἄνδρῳ πριάμενος τριάκοντα μνῶν, δανεισάμενος ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν, εὐπορίαν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος· καὶ τοσαύτην ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας ἡλίκην οὐδεὶς πώποθ' ἕτερος. ὧν οὐδένα ἐγὼ παρακαλῶ τὴν ἑαυτοῦ συμφοράν, ἣν εἵλετο

---

3. τοῦ ἄστεως d — 5. καὶ τῶν ἄλλων *om.* f[1] — τἀργύρεια: τἀργύρια d, τἀργυρεῖα x, cf. F Lectt. Aesch. 463. Voemel Dem. Proleg. p. 121. — 7. τούτῳ: τοῦτο ὡς A, *an ex* ὑπόλοιπον *natum?* — 9. οὐθὲν m — 13. γενήσεται f[1] — 15. ἡμέτερα f — 17. ἦρξεν: ἔσχεν m — 19. δυεῖν fab — μόνων m — 21. οὐ *om.* B — 23. 24. τριάκοντα μνῶν W, τὴν ἀρχὴν τρ. μν. A, τρ. μν. τὴν ἀρχὴν B — 25. τῇ ἑαυτοῦ *om.* A — 26. τοσαύτην ἐπεδείξατο W, τοσ. ἐπ. βδελυρίαν A, τοσ. ἀσέλγειαν ἐπ. B — 28. οὐδένα *om.* f[1] — παρακαλῶ W, δεῦρο παρακ. f, παρακαλῶ δεῦρο x — ἑαυτοῦ ab, αὐτοῦ x.

σιγᾶν, εἰς πολλοὺς ἐκμαρτυρῆσαι, ἀλλ' ὑμῖν τοῦτο κατα-
108 λείπω σκοπεῖν. τί δὲ προσδοκᾶτε; τὸν Ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, τοῦτον αὐτῷ λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχὴν τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων; ἤδη νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ὑμετέρας πόλεως κατὰ πολλὰ μὲν καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα, ὅτι κατ' ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς Ἀνδρίων πόλεως ὠνητής.

109 Ἀλλὰ καθ' αὑτὸν μὲν ἄρχων φαῦλος ἦν, μετὰ πλειόνων δὲ ἐπιεικής. πόθεν, ὦ ἄνδρες Ἀθηναῖοι; βουλευτὴς ἐγένετο ἐπὶ ἄρχοντος Νικοφήμου. ἅπαντα μὲν οὖν διεξελθεῖν ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν· ἃ δ' ἐστὶν ἐγγυτάτω τῆς αἰτίας καθ' ἣν ἡ παροῦσα κρίσις ἐστί, ταῦτ'
110 ἐρῶ διὰ βραχέων. ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος ὅθ' οὗτος ἐβούλευεν, ταμίας ἦν τῶν τῆς θεοῦ Ἡγήσανδρος ὁ Κρωβύλου ἀδελφός, ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ μάλα φιλεταίρως χιλίας δραχμάς. αἰσθόμενος δὲ τὸ πρᾶγμα ἀνὴρ ἐπιεικὴς Πάμφιλος ὁ Ἀχερδούσιος, προσκρούσας τι τούτῳ καὶ παροξυνθείς, ἐκκλησίας οὔσης εἶπεν ἀναστάς· „ἄνδρες Ἀθηναῖοι, κλέπτουσιν ὑμῶν ἀνὴρ
111 καὶ γυνὴ χιλίας δραχμάς.“ θαυμασάντων δ' ὑμῶν πῶς ἀνὴρ καὶ γυνὴ καὶ τίς ὁ λόγος, εἶπε μικρὸν διαλιπών· „ἀγνοεῖτε“ ἔφη „ὅ τι λέγω; ὁ μὲν ἀνήρ ἐστιν Ἡγήσαν-

---

1. ἐκμαρτυρήσοντα f — 5. ταύτων A — αὐτῷ W, αὐτὸν C, τὸν αὐτὸν Emperius — 7. πολλὰ καὶ m — 9. ἄλλα sine καὶ d, fort. κατὰ πολλὰ μὲν τἄλλα — 12. ἀλλὰ f, ἀλλ' ἴσως x, cf. § 113 — ἦν οὗτος A — 13. πόθεν W, πόθεν οὗτος Bd, πόθεν οὗτος om. in litura f — ἄνδρες add. W — 15. τούτῳ om. f¹ — 16. τῆς om. f — 19. ἐβούλευεν οὗτος AM, vitium subesse ex ἔκλεπτον κτλ. apparet. — Ἡγήσανδρος: add. B οὗτος — 21. μάλα: ἅμα A — 24. ἄνδρες W, ὦ C, cf. 78. 121. 164. III 211. — ἡμῶν d — 24. 25. ἀνὴρ καὶ γυνὴ W, ἀν. κ. γυν. κοινῇ B, κοινῇ ἀν. κ. γυν. A — 25. χιλίας δραχμὰς om. d, ante ἀνὴρ ponit f — θαυμασάντων .. γυνὴ om. A.



δρος ἐκεῖνος νυνί“, ἔφη, „πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή· ἡ δὲ γυνὴ Τίμαρχος οὑτοσί. ὃν δὲ τρόπον κλέπτεται τὸ ἀργύριον, ἐγὼ ἐρῶ.“ μετὰ ταῦτα δὴ διεξῄει περὶ τοῦ πράγματος καὶ μάλα εἰδότως καὶ σαφῶς. διδάξας δὲ ταῦτα, „τί οὖν ἐστιν“, ἔφη, „ὦ Ἀθηναῖοι, ὃ συμβουλεύω ὑμῖν; ἐὰν μὲν ἡ βουλὴ καταγνοῦσα τουτουὶ ἀδικεῖν καὶ ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ, δότε τὴν δωρεὰν αὐτοῖς, ἐὰν δὲ μὴ κολάσωσι, μὴ δῶτε ἀλλ' εἰς ἐκείνην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύ-
σατε.“ μετὰ ταῦτα ὡς ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ βου- 112
λευτήριον, ἐξεφυλλοφόρησε μὲν αὐτόν, ἐν δὲ τῇ ψήφῳ κατεδέξατο. ὅτι δ' οὐ παρέδωκε δικαστηρίῳ οὐδ' ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων ἀνάγκη δ' ἐστὶν εἰπεῖν ὅτι τῆς δωρεᾶς ἀπέτυχε. μὴ τοίνυν φανῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ μὲν βουλῇ χαλεπήναντες καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσαντο, αὐτοὶ δὲ ἀφῆτε καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα τοῦτον τῷ δήμῳ περιποιήσητε.

Ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς ἀρχάς ἐστι τοιοῦτος, 113
περὶ δὲ τὰς χειροτονητὰς βελτίων. καὶ τίς ὑμῶν οὐκ οἶδεν ὡς περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; πεμφθεὶς γὰρ ὑφ' ὑμῶν ἐξεταστὴς τῶν ξένων μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον, καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ τοῖς μὲν ἐξάρνοις ἐτιμήσατε ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριάκοντα μνῶν. οἱ δὲ νόμοι κελεύουσι τῶν κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας ἀποθνῄσκειν, τοὺς δ' ἀρνουμένους κρίνεσθαι. τοιγαροῦν οὕτως 114

---

4. δὴ W, ἤδη C — 5. δὲ B, δὴ AM Thom. 158 — ἔφη om. A — 6. ἃ A, cf. III 165 — 7. τουτουῒ F, τουτονὶ C, cf. II 6 III 214 — ἐκφυλλοχωρήσασα ab — 10. ὡς om. m — 11. μὲν add. h — 14. ἀπέτυχε W, οὐκ ἔτυχε A, ἀπετύγχανε B — 15. ἄνδρες add. W — 17. ἐτιμωρήσατο ab — 18. δήμῳ f, δήμῳ μὴ x — 19. περιποιήσετε d — 23. τῶν ξένων W, τῶν ξένων ἐν Ἐρετρίᾳ A, τῶν ἐν Ἐρετρίᾳ ξένων B — 26. ἐπετιμήσατε A — 28. 29. ἀποθνήσκειν A, θανάτῳ ζημιοῦσθαι B — 29. τοιγαροῦν A, τοιγάρτοι B.

ὑμῶν κατεφρόνησεν ὥστ' εὐθὺς ἐπὶ ταῖς [ἐν τοῖς δήμοις] διαψηφίσεσι δισχιλίας ἔλαβε. φήσας γὰρ Φιλωτάδην τὸν Κυδαθηναιᾶ, ἕνα τῶν πολιτῶν, ἀπελεύθερον εἶναι ἑαυτοῦ καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ ὀμόσας μὴ λαβεῖν δῶρα μηδὲ λήψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς καὶ ἐξώλειαν
115 αὐτῷ ἐπαρασάμενος, εἰληφὼς ἠλέγχθη παρὰ Λευκωνίδου τοῦ Φιλωτάδου κηδεστοῦ διὰ Φιλήμονος τοῦ ὑποκριτοῦ εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα καὶ τὸν ὅρκον ἐπιώρκησεν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Φιλήμονα τὸν δόντα τὸ ἀργύριον καὶ Λευκωνίδην τὸν Φιλωτάδου κηδεστήν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι τὰ ἀντίγραφα, καθ' ἃς τὴν πρᾶσιν ἐποιήσατο τοῦ ἀγῶνος.

## ΜΑΡΤΥΡΙΑΙ. ΣΥΝΘΗΚΑΙ.

116 Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γεγένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε, καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς ὑπερεώρακε, συνῄστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς ὑπομιμνήσκει καὶ ὁ παρ' ἐμοῦ λόγος· δύο δέ μοι τῆς κατηγορίας εἴδη λέλειπται, ἐφ' οἷς ἐμαυτόν τ' εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προῄρημαι, ὑμᾶς τε βουλοίμην ἂν οἷς ἐγὼ μέλλω λέγειν
117 προσέχειν καὶ παρακολουθεῖν εὐμαθῶς. ἔστι δ' ὁ μὲν πρότερός μοι λόγος προδιήγησις τῆς ἀπολογίας ἧς ἀκούω

1. ἐν τοῖς δήμοις A, δημοσίαις BM, del. S — 2. δισχιλίας ἔλαβε W, δισχ. ἔλαβε δραχμὰς A, δισχ. δραχμὰς ἔλαβε B — Φυλωτάδην A — 3. Κυδαθηναιῶ f, Κυδαθηνέα b, Κυδαθηναιέα x — 6. μήτε A — 7. ἐξώλειαν Bait., τὴν ἐξώλειαν C — 8. ἐπαρασάμενος ἑαυτῷ A — 9. τοῦ κηδεστοῦ B — 13. τὸ ἀργ. W, Τιμάρχῳ τὸ ἀργ. A, τὸ ἀργ. Τιμάρχῳ B — 15. καθ' ἃς: καθὼς f, καθῶς d — πρᾶξιν A — 17. περὶ μὲν οὖν .. εἴδη λείπεται Rhet. Sp. I 428 — 20. συνῄστε Co, σύνιστε C — 20. 21. ὑπομέμνηκε Co, ὑπέμνησε Π — 22. τῆς κατηγορίας εἴδη fort. delendum. — λείπεται A — 24. οἷς A, ἐφ' οἷς B — 25. καὶ προσέχειν B — προσέχειν W, προσέχειν τὴν γνώμην A, προσέχειν τὸν νοῦν B — 26. πρότερος b, πρῶτος x.



μέλλειν γίγνεσθαι, ἵνα μὴ τοῦτ' ἐμοῦ παραλιπόντος ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τ' τῆς πόλεως συμφέρον. ὁ δὲ δεύτερός ἐστί μοι λόγος παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν τῶν νεωτέρων προσεστηκότας πρὸς τῷ δικαστηρίῳ, πολλοὺς δὲ τῶν πρεσβυτέρων, οὐκ ὀλίγους δὲ ἐκ τῆς
ἄλλης Ἑλλάδος συνειλεγμένους ἐπὶ τὴν ἀκρόασιν· οὓς μὴ 118
νομίσητ' ἐμὲ θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ δύνασθε, καὶ εἰ τιμᾶν ἐπίστασθε [τοὺς ἄνδρας] τοὺς ἀγαθούς, καὶ εἰ θέλετε κολάζειν τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας.

Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης ἢ τοὺς 119
νόμους φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον. ἀποθαυμάζει γὰρ εἰ μὴ πάντες μέμνησθ' ὅτι καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος· καὶ τοὺς πριαμένους τὸ τέλος οὐκ εἰκάζειν ἀλλ' ἀκριβῶς εἰδέναι τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε δὴ οὖν τετόλμηκα ἀντιγράψασθαι πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησι τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ Τιμάρχου τοῦτο ἐκλέξαντος τὸ τέλος.
ἐγὼ δὲ πρὸς ταῦτ', ὦ ἄνδρες, σκέψασθ' ἂν ἁπλοῦν 120
ὑμῖν καὶ ἐλευθέριον δόξω λόγον εἰπεῖν. αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως εἰ Τίμαρχος, ὁ τοῦ δήμου σύμβουλος

1. γενέσθαι bm — τοῦτ' ἐμοῦ: τοῦτό μου Am, τοῦτο ἐμοῦ nb — 4. τὰ .. συμφέροντα A — 6. προεστηκότας ab — 7. ὀλίγους δὲ ἐκ ab, ἐλαχίστους δὲ ἐκ m, ἐλαχίστους δὲ τῶν ἐκ AM — 9. νομίζετ' AM — θεωρήσαντας dm — 11. καὶ τὰ μὴ καλὰ om. f¹ — 12. τοὺς ἀγαθοὺς ἄνδρας B cf. III 152 — 18. ἀποθαυμάσει m — 19. ἐμεμνήμεθα B, μεμνήμεθα l — 20. τέλος a¹m, τέλος τοῦτο x — 21. εἰδέναι: οἴεται ἐξετάζειν a²bA — 22. οὖν δὴ m — 26. ἄνδρες W, Ἀθηναῖοι C — 27. ὑμῖν post λόγον BM — εἰπεῖν: λέγειν a — 28. ὁ om. m.

καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν,
μὴ τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει, ἀλλὰ
τοὺς τόπους ἐπερωτήσει ὅπου ἐκαθέζετο, καὶ τοὺς τε-
λώνας, εἰ πώποτε παρ' αὐτοῦ τὸ πορνικὸν τέλος εἰλή-
121 φασιν. ταύτης μὲν οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παρα-
χωρησάτω· ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ καλὸν καὶ
δίκαιον, ᾧ χρήσει εἰ μηδὲν αἰσχρὸν σαυτῷ σύνοισθα.
τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν ἃ προσ-
ήκει ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν· „ἄνδρες Ἀθη-
ναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου παρ' ὑμῖν,
οὐκ ἀφανεῖς δὲ διατριβὰς διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις
122 μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ' ἄν, εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ
λόγος μοι περὶ τῆς αἰτίας ἧς κρίνομαι, ταῖς ὑμετέραις
μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου
λόγους. μὴ γὰρ ὅτι εἰ πέπρακταί τί μοι τούτων, ἀλλ'
εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις
ὑπὸ τούτου αἰτίαις, ἀβίωτον ἡγούμενος ἐμαυτῷ τὸν λοι-
πὸν βίον, παραδίδωμι τὴν εἰς ἐμαυτὸν τιμωρίαν ἀπολο-
γήσασθαι τῇ πόλει πρὸς τοὺς Ἕλληνας, οὐδ' ἥκω παραι-
τησόμενος ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ δοκῶ τοιοῦτος
εἶναι.“ ταῦτα μέν ἐστιν, ὦ Τίμαρχε, ἀνδρὸς ἀγαθοῦ καὶ
σώφρονος καὶ πεπιστευκότος τῷ βίῳ καὶ καταφρονοῦντος
123 εἰκότως ἁπάσης βλασφημίας· ἃ δὲ πείθει σε Δημοσθέ-
νης, οὐκ ἀνδρός ἐστιν ἐλευθερίου ἀλλὰ πόρνου περὶ τῶν
τόπων διαφερομένου. ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν
οἰκήσεων καταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμα ἐξετάζε-
σθαι ἀξιῶν ὅπου ἐκαθέζου, ἃ μέλλω λέγειν ἀκούσας εἰσ-
αῦθις οὐ χρήσει τοιούτῳ λόγῳ, ἐὰν σωφρονῇς. οὐ γὰρ

2. ἐγχειρήσει A, ἐπιχειρήσῃ m — 4. τὸ om. A — 5. ταῦτα b — 6. ὑποβάλλω λόγον A — 7. σαυτῷ: αὐτῷ d — 8. 9. προσήκει A, προσήκει λέγειν B — 10. παρ' ὑμῖν: μεθ' ὑμῶν A, cf. Dem. XVIII 10 Achill. Tat. VII 9 — 15. εἰ ὅτι m — τί μοι A, μοί τι B — 17. ἡγούμενος W, ἡγ. εἶναι AM, εἶναι ἡγ. B — 18. εἰς ἐμαυτόν: ἐμαυτοῦ a²b — 18. 19. ἀπολογ. F, ἐναπολογ. C — 19. 20. παραιτησαμενος f — 21. ταῖτα W, αὕτη C — 22. ἀπολογία ante ἀνδρὸς add. A, post σώφρονος B — 23. 24. Δημοσθένης W, λέγειν Δημ. A, Δημ. λέγειν B — 24. ἐλευθερίου W, ἐλευθέρου C.



τὰ οἰκήματα οὐδ' αἱ οἰκήσεις τὰς ἐπωνυμίας τοῖς ἐνοι-
κήσασι παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων
ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν.
[ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελό- 124
μενοι ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ,
οἰκίαν.] ἐὰν μὲν εἰς ἓν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς
ἐργαστηρίων ἰατρὸς εἰσοικίσηται, ἰατρεῖον καλεῖται, ἐὰν
δ' ὁ μὲν ἐξοικίσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον
χαλκεὺς εἰσοικίσηται, χαλκεῖον, ἐὰν δὲ κναφεύς, κναφεῖον,
ἐὰν δὲ τέκτων, τεκτονεῖον· ἐὰν δὲ πορνοβοσκὸς καὶ
πόρναι, ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον. ὥστε
σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας.
μὴ οὖν ὅπου ποτὲ ἔπραττες ἐρώτα, ἀλλ' ὡς τοῦτο οὐ
πεποίηκας ἀπολογοῦ.

Ἥξει δ', ὡς ἔοικε, καὶ ἕτερος λόγος τις ὑπὸ τοῦ 125
αὐτοῦ σοφιστοῦ συγκείμενος. λέγει γὰρ ὡς οὐδέν ἐστιν
ἀδικώτερον φήμης, ἀγοραῖα τεκμήρια καὶ παντελῶς ἀκό-
λουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος. πρῶτον μὲν γὰρ τὴν
ἐν Κολωνῷ συνοικίαν τὴν Δήμωνος καλουμένην ψευδῆ
φησι τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος· ἔπειτα
τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον οὐκ Ἀνδοκίδου
ἀλλ' Αἰγηίδος φυλῆς εἶναι ἀνάθημα. παραφέρει δ' 126
αὑτὸν ἐν σκώμματος μέρει, ὡς ἡδὺς ἀνὴρ καὶ περὶ τὰς
ἰδίας διατριβὰς γελοῖος· „εἰ μὴ καὶ ἐμὲ δεῖ“, φησίν,
„ὑπακούειν τοῖς ὄχλοις μὴ Δημοσθένην καλούμενον ἀλλὰ
Βάταλον, ὅτι ταύτην ἐξ ὑποκορίσματος τίτθης τὴν ἐπω-
νυμίαν ἔχω.“ εἰ δὲ Τίμαρχος ὡραῖος ἐγένετο καὶ σκώ-
πτεται τῇ τοῦ πράγματος διαβολῇ καὶ μὴ τοῖς αὑτοῦ
ἔργοις, οὐ δήπου διὰ τοῦτ' αὐτόν φησι δεῖν συμφορᾷ

1. οἰκίσεις d — 4. ὅπου . . οἰκίαν *delenda esse vidit Valckenaer.* — 6. μὲν W, δ' C — 7. 8. εἰσοικίσηται—ἐξοικίσηται Steph., εἰσοικήσηται—ἐξοικήσηται C — 9. χαλκεῖον W, χαλκεῖον ἐκλήθη C — γναφεὺς γναφεῖον A, cf. Herod. Cath. 446, 12 — 11. εὐθὺς: αὐτῆς am, ταύτης b — 13. οὐ τοῦτο m — 16. σοφιστοῦ *om.* b — 17. 18. ἀνακόλουθα m — 18. γὰρ *om.* m — 23. ἀνὴρ D, ἀνὴρ C — 26. καὶ βάταλον b — ὑποκορίσματός τινος f.

127 περιπεσεῖν. ἐγὼ δὲ, ὦ Δημόσθενες, περὶ μὲν τῶν ἀνα-
θημάτων καὶ τῶν οἰκιῶν καὶ τῶν κτημάτων καὶ πάντων
ὅλως τῶν ἀφώνων πολλοὺς καὶ παντοδαποὺς καὶ οὐδέ-
ποτε τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους· οὐ γάρ εἰσιν
ἐν αὐτοῖς οὔτε καλαὶ οὔτε αἰσχραὶ πράξεις, ἀλλ᾽ ὁ προσ-
αψάμενος αὐτῶν καὶ παρατυχὼν, ὅστις ἂν ᾖ, κατὰ τὸ
μέγεθος τῆς αὑτοῦ δόξης λόγον παρέχει· περὶ δὲ τὸν
τῶν ἀνθρώπων βίον καὶ τὰς πράξεις ἀψευδής τις ἀπὸ
ταὐτομάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν, καὶ διαγ-
γέλλει τοῖς πολλοῖς τὰς ἰδίας πράξεις, πολλὰ δὲ καὶ
128 μαντεύεται περὶ τῶν μελλόντων ἔσεσθαι. καὶ οὕτως
ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω, ὥσθ᾽ εὑρή-
σετε καὶ τὸ πάλαι ἡμῶν τοὺς προγόνους φήμης ὡς
θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολ-
λάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων
γενέσθαι· „φήμη δ᾽ εἰς στρατὸν ἦλθε,“ καὶ πάλιν τὸν
Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον
τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖοί τινες ἂν
τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν
λέγῃ,

φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς.

129 ὁ δ᾽ Ἡσίοδος καὶ διαρρήδην θεὸν αὐτὴν ἀποδείκνυσι,
πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι· λέ-
γει γάρ,

φήμη δ᾽ οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νυ τίς ἐστι καὶ αὐτή.

καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιω-
κότας εὑρήσετε ἐπαινέτας ὄντας· πάντες γὰρ οἱ δημοσίᾳ

2. περὶ τῶν κτημ. A — 6. περιτυχὼν H — 7. αὑτοῦ: αὐτῆς b — 8. καὶ τὰς πράξεις Tur., καὶ λόγον καὶ τὰς πράξεις A, καὶ τὸν λόγον καὶ τὰς πράξεις BM — καὶ ἀψευδής A, adiectivum alterum necessarium videtur. — ἀπὸ: ἐπὶ m — 13. τὸ πάλαι W, τὴν πόλιν C — ὑμῶν bdm — ἡμῶν τοὺς προγόνους W, cf. III 127, ἡμῶν καὶ τοὺς προγόνους C — 21. μυχοῖς Suid. s. v. φήμη, μυχῷ C, cf. Hesych. s. v. μυχοί — 23. 24. λέγεται A — 25. Hes. E 763—764. — οὔτι d — 25. 26. πολλοὶ λαοὶ B Hes., λαοὶ πολλοὶ AM — 26. φημίξωσι f, ψημίζωσι d, φημίξουσι am, φημίζουσι b, similiter variant Hesiodi libri. cf. II 144.



φιλότιμοι παρὰ τῆς [ἀγαθῆς] φήμης ἡγοῦνται τὴν δόξαν
κομιεῖσθαι· οἷς δ᾽ αἰσχρός ἐστιν ὁ βίος, οὐ τιμῶσι τὴν
θεὸν ταύτην· κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦν-
ται. ἀναμνήσθητε οὖν, ὦ ἄνδρες, τίνι κέχρησθε φήμῃ 130
περὶ Τιμάρχου. οὐχ ἅμα τοὔνομα λέγεται καὶ τὸ ἐρώτημα
ἐρωτᾶτε· „ποῖός τις; ὁ πόρνος;“ ἔπειτα εἰ μὲν μάρτυ-
ρας παρειχόμην περί τινος, ἐπιστεύετ᾽ ἄν μοι· εἰ δὲ τὴν
θεὸν μάρτυρα παρέχομαι, οὐ πιστεύσετε; ἣ οὐδὲ ψευδο-
μαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι. ἐπεὶ καὶ περὶ τῆς 131
Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς ὑπὸ τῆς φήμης ἀλλ᾽
οὐχ ὑπὸ τῆς τίτθης Βάταλος προσαγορεύεται, ἐξ ἀναν-
δρίας τινὸς καὶ κιναιδίας ἐνεγκάμενος τοὔνομα. εἰ γάρ
τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος καὶ
τοὺς μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς κατὰ τῶν φίλων
λόγους γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν
δικαστῶν, οἶμαι ἂν αὐτοὺς, εἴ τις μὴ προειπὼν τοῦτο
ποιήσειεν, ἀπορῆσαι εἴτε ἀνδρὸς εἴτε γυναικὸς εἰλήφασιν
ἐσθῆτα.

Ἀναβήσεται δ᾽ ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν 132
τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν,
ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχει-
ρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ κρίσιν
ἐξευρηκέναι με φάσκων ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχὴν,
παραφέρων πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους,
Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλλήλους
πίστιν καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει διεξιών·
οὐκ ἀφέξεται δ᾽, ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιημάτων 133
οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωικῶν, ἀλλὰ καὶ τὴν λεγομένην
γενέσθαι φιλίαν δι᾽ ἔρωτα Πατρόκλου καὶ Ἀχιλλέως ὑμνή-
σει, καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν

1. ἀγαθῆς del. H — 2. κομίσασθαι b — 4. γοῦν d — 5. ἐρωτᾶτε A, εὐθὺς ἐρωτᾶτε BM — 6. ποῖός τις W, ποῖος Τίμαρχος C — 8. πιστεύετε B cf. 85 — 9. ἐπισκῆψαι am, ἐπισκέψασθαι b — 11. ὁ βάταλος B — 12. τινὸς add. A — εἰ γὰρ — 13. περιελόμενος Thom. 399 — 16. οἴομαι f — 27. οὐκ: ὡς οὐκ m.

τύχῃ σωφροσύνης, νῦν ἐγκωμιάσεται. εἰ γὰρ τὴν τοῦ σώ-
ματος εὐπρέπειαν ταύτην τινὲς διαβάλλοντες συμφορὰν
τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ κοινῇ ψηφιεῖσθαι
134 ὑμᾶς καὶ ἰδίᾳ εὔχεσθαι· ἄτοπον γὰρ εἶναι δοκεῖν αὐτῷ,
εἰ τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας ἅπαντες εὔ-
χεσθε οἱ μέλλοντες παιδοποιεῖσθαι καλοὺς κἀγαθοὺς
τὰς ἰδέας φῦναι καὶ τῆς πόλεως ἀξίους, τοὺς δ' ἤδη
γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν,
ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας καὶ
περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς ἔοικεν,
135 Αἰσχίνῃ πεισθέντες ἀτιμώσετε. κἀνταῦθα δή τινα κα-
ταδρομήν, ὡς ἀκούω, μέλλει ποιεῖσθαι ἐπερωτῶν, εἰ οὐκ
αἰσχύνομαι αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν καὶ
πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος
καὶ κινδύνους καθιστάς. καὶ τὸ τελευταῖον, ὡς ἀπαγγέλ-
λουσί τινές μοι, εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος
ὑμᾶς, ἐπιδείξεσθαί μου φησὶν ὅσα πεποίηκα ἐρωτικὰ εἴς
τινας ποιήματα, καὶ λοιδοριῶν τινων καὶ πληγῶν ἐκ τοῦ
πράγματος αἳ περὶ ἐμὲ γεγένηνται μαρτυρίας φησὶ παρ-
136 έξεσθαι. ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς
κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξ-
αρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς καὶ ἔτι καὶ νῦν εἶ-
ναι, τάς τε ἐκ τοῦ πράγματος γιγνομένας πρὸς ἑτέρους
φιλονικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέ-
ναι μοι. περὶ δὲ τῶν ποιημάτων ὧν φασιν οὗτοί με πε-
ποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον
ἔχειν τὸν τρόπον ὃν οὗτοι διαφθείροντες παρέξονται.
137 ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων
φιλανθρώπου πάθος καὶ εὐγνώμονος ψυχῆς, τὸ δὲ ἀσελ-

1. νῦν *om. in lacuna* b — 3. *add.* A φησὶ *ante* κοινῇ, ab *post* ψηφιεῖσθαι *ibidemque* Mm φήσουσι, *del.* W — 4. καί: ἃ καὶ m — δοκεῖν αὐτῷ Tur., δοκεῖ αὐτῷ B, ὡς δοκεῖν ἑαυτῷ A — 5. υἱεῖς: υἱεῖς αὐτοὺς A — μηδέπω: δὲ μήπω m — 6. παιδοποιήσειν m — 11. αἰσχύνη d — πεισθέντας m — 12. ποιεῖσθαι W, περὶ ἐμοῦ ποιεῖσθαι A, ποιεῖσθαι περὶ ἐμοῦ BM — 17. ἐπιδείξεσθαι H Wolf, ἐπιδείξασθαι C — 18. τινων *post* πληγῶν B — 22. ἔτι νῦν m — 23. ἑταίρους R — 24. φιλονικίας Co, φιλονεικίας C — οὐχὶ *om.* A — 24. 25. συμβεβηκέναι: γεγενῆσθαι A — 27. παρέχονται A — 29. πάθους bm.



γαίνειν ἀργυρίου τινὰ μισθούμενον ὑβριστοῦ καὶ ἀπαι-
δεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι· καὶ τὸ μὲν ἀδια-
φθόρως ἐρᾶσθαί φημι καλὸν εἶναι, τὸ δ' ἐπαρθέντα
μισθῷ πεπορνεῦσθαι αἰσχρόν. ὅσον δ' ἑκάτερον τούτων
ἀπ' ἀλλήλων διέστηκε καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς
ἐφεξῆς ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πα- 138
τέρες ἡμῶν, ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ
φύσεως ἀναγκαίων ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο
εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν.
„δοῦλον“ φησὶν ὁ νόμος „μὴ γυμνάζεσθαι μηδὲ ξηρα-
λοιφεῖν ἐν ταῖς παλαίστραις.“ καὶ οὐκέτι προσέγραψε·
„τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ γυμνάζεσθαι.“ ὁπότε
γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατι-
δόντες ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν, τότε καὶ ἡγοῦντο,
ᾧ ἐκείνους ἐκώλυον, τοὺς ἐλευθέρους προτρέπειν ἐπὶ τὰ
γυμνάσια. πάλιν ὁ αὐτὸς οὗτος εἶπε νομοθέτης· „δοῦλον 139
ἐλευθέρου παιδὸς μὴ ἐρᾶν μηδ' ἐπακολουθεῖν, ἢ τύ-
πτεσθαι τῇ δημοσίᾳ μάστιγι πεντήκοντα πληγάς.“ ἀλλ'
οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν καὶ ὁμιλεῖν καὶ ἀκο-
λουθεῖν, οὐδὲ βλάβην τῷ παιδὶ ἀλλὰ μαρτυρίαν σωφρο-
σύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ' οἶμαι καὶ ἀδυνάτου
ἔτι ὄντος κρῖναι τὸν ὄντως εὔνουν καὶ μή, τὸν ἐρῶντα
σωφρονίζει, καὶ τοὺς τῆς φιλίας λόγους εἰς τὴν φρονοῦ-
σαν [καὶ πρεσβυτέραν] ἡλικίαν ἀναβάλλεται· τὸ δ' ἐπα-
κολουθεῖν καὶ ἐφορᾶν φρουρὰν καὶ φυλακὴν σωφροσύνης
ἡγήσατο εἶναι μεγίστην. τοιγάρτοι τοὺς τῆς πόλεως μὲν 140
εὐεργέτας, ταῖς δ' ἀρεταῖς ὑπερενηνοχότας, Ἁρμόδιον καὶ
Ἀριστογείτονα, ὁ σώφρων καὶ ἔννομος, εἴτε ἔρωτα εἴτε
τρόπον χρὴ προσειπεῖν, τοιούτους ἐπαίδευσεν ὥστε τοὺς

1. τινὰς A — 2. εἶναι ἔργον Hermias Phaedr. p. 78 Ast. — 7. ὑμῶν d — 8. ἀναγκαίων A, *add.* BM κακῶν καὶ ἀγαθῶν — ἡγοῦνται m — 12. ἀλείφεσθαι καί: μὴ d — 14. μὴ *om.* f — τότε καὶ W, τούτῳ αὐτῷ λόγῳ B, τῷ αὐτῷ νόμῳ A, τούτῳ αὐτῷ Baiter, *ego praeferrem* ταὐτῷ — 15. ἐπιτρέπειν B — 16. ὁ: δ' ὁ A — 17. μὴ A, μήτε B — μηδ' h, μήτ' C — 24. καὶ πρεσβυτέραν *del.* Co — 29. τρόπον A, τρόπον αὐτὸν BM.

ἐπαινοῦντας τὰ ἐκείνων ἔργα καταδεεστέρους δοκεῖν εἶναι
ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων.

141 Ἐπειδὴ δὲ Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε καὶ
Ὁμήρου καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν δικαστῶν ἀνη-
κόων παιδείας ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προσ-
ποιεῖσθε εἶναι καὶ περιφρονοῦντες ἱστορίᾳ τὸν δῆμον,
ἵν᾽ εἰδῆτε ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν,
λέξομέν τι καὶ περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι
φιλοσόφων ἀνδρῶν μεμνῆσθαι καὶ καταφεύγειν ἐπὶ
τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέ-
ψαντες, ὦ ἄνδρες, εἰς τοὺς ὁμολογουμένως ἀγαθοὺς καὶ
χρηστοὺς ποιητάς, ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώ-
φρονας καὶ τῶν ὁμοίων ἐρῶντας καὶ τοὺς ἀκρατεῖς ὧν
142 οὐ χρὴ καὶ ὑβριστάς. λέξω δὲ πρῶτον μὲν περὶ Ὁμήρου,
ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν
εἶναι τάττομεν. ἐκεῖνος γὰρ πολλαχοῦ μεμνημένος περὶ
Πατρόκλου καὶ Ἀχιλλέως τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυ-
μίαν αὐτῶν τῆς φιλίας ἀποκρύπτεται, ἡγούμενος τὰς τῆς
εὐνοίας ὑπερβολὰς καταφανεῖς εἶναι τοῖς πεπαιδευμένοις
143 τῶν ἀκροατῶν. λέγει γάρ που Ἀχιλλεὺς ὀδυρόμενος τὸν
τοῦ Πατρόκλου θάνατον, ὡς ἕν τι τοῦτο τῶν λυπηροτά-
των ἀναμιμνησκόμενος, ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν
πατέρα τὸν Πατρόκλου ἄκων ἐψεύσατο· ἐπαγγείλασθαι
γὰρ εἰς Ὀποῦντα σῶν ἀπάξειν, εἰ συμπέμψειεν αὐτὸν
εἰς τὴν Τροίαν καὶ παρακατάθοιτο αὐτῷ. ᾧ καταφανής
ἐστιν ὡς δι᾽ ἔρωτα τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν.
144 ἔστι δὲ τὰ ἔπη ἃ ἐγὼ νυνὶ μέλλω λέγειν·

ὢ πόποι, ἦ ῥ᾽ ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν·

5. παιδείας ἀνηκόων δικαστιῶν m — 5. 6. προσποιεῖσθε εἶναι del. Co — 6. ὑπερφρονοῦντες AM — 8. καὶ H, καὶ ἡμεῖς C — 11. ἄνδρες W, Ἀθηναῖοι C — ὁμολογουμένους d — 14. καὶ ὑβριστάς F, καὶ τοὺς ὑβριστάς C — 16. πολλαχοῦ: πολλὰ d — 18. ἀποκέκρυπται A, ὑποκρύπτεται m — 23. πατέρα τοῦ A — Πατρόκλου W, add. A Μενοίτιον, B τὸν Μενοίτιον — 24. γὰρ A, γὰρ αὐτὸν B — σῶον d — ἀπάξειν A, add. BM τὸν Πάτροκλον· ἦν γὰρ Ὀπούντιος — αὐτῷ Bf — 25. τὴν om. m — παρακαταθεῖτο a$^2$b, cf. Voemel Prol. Dem. § 62 — 27. νυνὶ: νῦν ὑμῖν B — 28. Hom. Σ 324 — ὦ: ὢ C.



φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα λαχόντα τε ληίδος αἶσαν.
ἀλλ᾽ οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

οὐ τοίνυν ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ᾽ οὕ- 145
τως αὐτὸν ἰσχυρῶς ἐπένθησεν, ὥστε παρὰ Θέτιδος τῆς
αὑτοῦ μητρὸς προακούσας ὅτι μὴ μετελθὼν μὲν τοὺς ἐχ-
θροὺς ἀλλ᾽ ἐάσας ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θά-
νατον ἐπανελθὼν οἴκαδε γηραιὸς ἐν τῇ αὑτοῦ πατρίδι
ἀποθανεῖται, τιμωρησάμενος δὲ διὰ ταχέων μέλλοι τὸν
βίον τελευτᾶν, εἵλετο τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον
ἢ τὴν σωτηρίαν. οὕτω δὲ μεγαλοψύχως ἠπείγετο τὸν
φονέα τὸν ἐκείνου τιμωρήσασθαι, ὥστε πάντων αὐτὸν
παραμυθουμένων καὶ κελευόντων λούσασθαι καὶ σῖτον
προσενέγκασθαι ἀπόμνυσι μηδὲν τούτων πράξειν πρὶν
ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐπὶ τὸν τοῦ Πατρόκλου
τάφον ἐνέγκῃ. καθεύδοντος δ᾽ αὐτοῦ ἐπὶ τῇ πυρᾷ, ὥς 146
φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται τὸ Πατρόκλου, καὶ
τοιούτων ἐπεμνήσθη καὶ τοιαῦτα ἐπέσκηψε τῷ Ἀχιλλεῖ,
ἐφ᾽ οἷς καὶ δακρῦσαι καὶ ζηλῶσαι τὴν ἀρετὴν καὶ τὴν
φιλίαν ἄξιόν αὐτῶν ἐστιν. ἐπισκήπτει μὲν γὰρ αὐτῷ,
προειπὼν ὅτι οὐδὲ ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου
τελευτῆς, εἴ πως εἴη δυνατόν, προδιοικήσασθαι ὅπως
τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν
τῷ αὐτῷ, οὕτω καὶ τελευτησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ
αὐτῇ σορῷ κείσεται· ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς 147
διεξιὼν ἃς μετ᾽ ἀλλήλων ζῶντες διέτριβον, λέγει ὅτι
„οὐκέτι περὶ τῶν μεγίστων, ὥσπερ τὸ πρότερον, καθεζό-
μενοι μετ᾽ ἀλλήλων μόνοι ἄπωθεν τῶν ἄλλων φίλων βου-
λευσόμεθα,“ τὴν πίστιν οἶμαι καὶ τὴν εὔνοιαν ποθεινο-
τάτην ἡγούμενος εἶναι. ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς
γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμ-

4. ἐρεῦσαι Hom., rec. ἐρεύσειν — 6. ἰσχυρῶς αὐτὸν d — 9. ἐπανελθὼν οἴκαδε, cf. ad III 212 — 12. τὴν αὑτοῦ? — 15. μηδὲν: μηδὲν ἂν Am — 18. τὸ Mead. R, τοῦ A, om. BM — 28. τὸ: καὶ d — 29. ἄπωθεν b, ἄποθεν x, cf. 99. — 29. 30. βουλευόμεθα ab.

ματεὺς τὰ ἔπη τὰ περὶ τούτων [ἃ Ὅμηρος πεποίηκε].

148 λέγε πρῶτον τὰ περὶ τῆς Ἕκτορος τιμωρίας.

ἀλλ' ἐπεὶ οὖν, φίλ' ἑταῖρε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο φονῆος.

149 ἀναγίγνωσκε δὴ τὰ περὶ τοῦ ὁμοτάφους αὐτοὺς γενέσθαι ἃ λέγει ἐν τῷ ὕπνῳ ὁ Πάτροκλος, καὶ περὶ τῶν διατριβῶν ἃς συνδιέτριβον ἀλλήλοις.

οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥπερ λάχε γιγνόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι,
μαρνάμενον δηίοις Ἑλένης ἕνεκ' ἠυκόμοιο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ,
ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ,
χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ.
ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεύς
ἔτρεφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι.

2. τοῦ ἕκτορος A — 3. Hom. Σ 333 — *νῦν δ' ἐπεὶ οὖν Πάτροκλε* Hom. — 4. ἐνεῖκαι Aba² Hom., ἐνείκω x — 5. σοῖο Hom., σεῖο *Hom. plerique*, C — 6. δὴ: δὲ bm — τὰ A, ἃ x — αὐτῷ Hermog. Sp. II 450 — 7. ἃ *add.* A — 9. Hom. Ψ 77 — *οὐ μὴν γὰρ ζωοίγε* Hom., *Schol. Hom. A adnotat:* ἔν τισι τῶν πολιτικῶν „οὐ γὰρ ἔτι" — 11. ἀμφέλαχε a²b — γεινόμενον A — 13. εὐηφενέων Aristoph. Rhian., εὐηγενέων C — 14. *om.* Hom. — 15. σὺ δ' ἐνὶ .. σῇσιν: *καὶ ἐφήσομαι εἴ κε πίθηαι* Hom., *cf.* Φ 94 — 17–19. *discrepant cum Hom.* 84 17. κεύθῃ A — 18. ἀμφορεῖ f — 19. ἐτράφημεν m — περ: ἔν περ d, *om.* m — ἡμετέροισι C — 20. εὖτε .. ὀνόμηνεν *habet* f *in marg. rec. addita.* — 21. ὑμέτερόνδ': ὑμέτερον δῶ ab — ἀπὸ d — 23. νήπιον m, γνήσιον d *et* mrg. f — 24. ἐν δόμοισιν d — 26. ἀμικαλύπτῃ d — ως Bkk. Hom., ὧς C.



ὡς τοίνυν ἐξῆν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν 150
τοῦ Πατρόκλου θάνατον, ἀνάγνωθι ἃ λέγει ἡ Θέτις.

ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι, ὅ μοι πολὺ φίλτατος ἔσκεν.

Ὁ τοίνυν οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐρι- 151
πίδης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που·

ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.

πάλιν αὐτὸς ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγε- 152
νημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ διαβολῆς ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι·

ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτής,
καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
κἀγὼ μὲν οὕτω, χὤστις ἔστ' ἀνὴρ σοφός,
λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν
σκοπῶν δίαιτάν θ' ἥντιν' ἡμερεύεται...
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,

1. ἐξῆν ἂν am — 3. Hom. Σ 95 — δή: δὲ d — 5. Hom.: *τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς* — 7. ἐπαμῦναι· *ὁ μὲν μάλα τηλόθι πάτρης ἔφθιτ' κτλ.* Hom. — 8. ὁ τοίνυν ... ὧν εἴην ἐγὼ Greg. Cor. W. VII 1321 — οὐδενὸς b, οὐθενὸς x — ἥττων fa¹bm, ἥττων ὁ σοφὸς Greg. — 12. Eurip. Stheneboea ap. Nauck frg. 671, *εἰσάγων τὸν Βελλεροφόντην γνωμολογοῦντα* Schol. Greg. Cor. Rhet. VII 1321 — 14. πάλιν Hillebrand, πάλιν τοίνυν C — αὐτός: αὐτὸς ποιητής A, ὁ αὐτὸς BM — 18. Nauck Frg. 809 *ubi cf. aliorum testimonia* — πολλῶν .. πέρι *om.* f — ᾑρέθη dm — κριτὴς λόγων Joh. Dam. IV 159 Mein. — 20. πέρι: πάρα R, ὕπερ Valck. — 21. καὶ ἐγὼ C — χὤστις Valck., καὶ ὅστις C — 22. λογίζεται Joh. Dam. — τἀληθές: δὲ ἀληθὲς Bd — 23. σκοπῶν: βλέπων Joh. Dam. — θ' *om.* C, *add.* Boissonade — ἡμερεύεται Gaisford, ἱμερεύεται Joh. Dam., ἐμπορεύεται C.

οὐ πώποτ᾽ ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

153 σκέψασθε δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς γνώμας ἃς ἀποφαί-
νεται ὁ ποιητής. ἤδη [δὲ] πολλῶν πραγμάτων φησὶ γε-
γενῆσθαι κριτής, ὥσπερ νῦν ὑμεῖς δικασταί, καὶ τὰς
κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν ἀλλ᾽ ἐκ τῶν ἐπιτηδευμά-
των καὶ τῶν ὁμιλιῶν φησι ποιεῖσθαι ἐκεῖσε ἀποβλέπων,
πῶς τὸν καθ᾽ ἡμέραν βίον ζῇ ὁ κρινόμενος καὶ ὅντινα
τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν
καὶ τὰ τῆς πόλεως διοικήσοντα, καὶ τίσι χαίρει πλησιά-
ζων· καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον
αὐτὸν εἶναι οἷσπερ ἥδεται ξυνών. οὐκοῦν δίκαιον καὶ
περὶ Τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπίδῃ χρήσασθαι
154 λογισμοῖς. πῶς διῴκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε
τὰ πατρῷα καὶ μεμισθαρνηκὼς τῷ σώματι καὶ δωροδο-
κῶν δημοσίᾳ πάντ᾽ ἠφάνικεν, ὥστε μηδὲν ἄλλ᾽ ἢ τὰς
αἰσχύνας αὐτῷ περιεῖναι. χαίρει δὲ τῷ ξυνών; Ἡγησάν-
δρῳ. ὁ δ᾽ Ἡγήσανδρος ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων;
ἐκ τούτων ἐξ ὧν αὐτὸν οἱ νόμοι ἀπαγορεύουσι μὴ δημη-
γορεῖν. ἐγὼ δὲ τί λέγω κατὰ Τιμάρχου, καὶ τίνα ποτ᾽
ἐστὶν ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορ-
νευμένον καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα. ὑμεῖς
δὲ τί ὀμωμόκατε; ψηφιεῖσθαι περὶ ὧν ἂν ἡ δίωξις ᾖ.

155 Ἵνα δὲ μὴ μακρολογῶ περὶ τῶν ποιητῶν διεξιών,
ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα
καὶ μειρακίων καὶ παίδων, ὧν τοῖς μὲν διὰ τὴν εὐπρέ-
πειαν πολλοὶ γεγόνασιν ἐρασταί, ἐνίοις δὲ τῶν ἐν ἡλι-
κίᾳ ἔτι καὶ νῦν εἰσίν, ὧν οὐδεὶς πώποτ᾽ εἰς τὰς αὐτὰς

---

2. ἐστὶν οἷσπερ f, ἐστὶν ἕκαστος οἷσπερ Bd, τοιόσδ᾽ ἕκαστος οἷσπερ Nauck, ἔσθ᾽ οἷοισπερ H. Wolf — 3. ἄνδρες add. W — 4. ἤδη: ᾔδει A — δὲ del. S — 9. οἰκίαν: οὐσίαν H ex 154 — πολλαπλασίως m — 12. αὐτὸν om. d, fort. ἕκαστον — οἷοισπερ Taylor — 14. διῴκησε d — 15. καὶ H, καὶ τὰ τῶν φίλων C — 19. ἐξ ὧν αὐτὸν W cf. 160, ἐξ ὧν αὐτὸν πράξαντα am, ἃ τὸν πράξαντα Ab, ἐκ τούτων deletis coniecit D ἐξ ὧν τὸν πράξαντα, cf. III 234 II 117 — μὴ om. fm — 20. καὶ τί ποτ᾽? — 23. τί: ὅτι m, om. A — ψηφιεῖσθαι περὶ ὧν W, περὶ αὐτῶν ψηφίσασθαι περὶ ὧν d, ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν x — 24. μακρῷ λόγῳ d.



αἰτίας ἀφῖκται Τιμάρχῳ· καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι
ἀνθρώπων πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς ὀνό-
ματα, ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσ-
ήκουσαν τάξιν Τίμαρχον. πρῶτον δὲ λέξω τὰ τῶν ἐλευ- 156
θερίως καὶ καλῶς βεβιωκότων ὀνόματα. γιγνώσκετε, ὦ
ἄνδρες Ἀθηναῖοι, Κρίτωνα τὸν Ἀστυόχου καὶ Περικλεί-
δην τὸν Περιθοίδην καὶ Πολεμαγένην καὶ Πανταλέοντα
τὸν Κλεαγόρου καὶ Τιμησίθεον τὸν δρομέα, καλλίστους
οὐ μόνον τῶν πολιτῶν ἀλλὰ καὶ τῶν Ἑλλήνων γεγενη-
μένους καὶ πλείστων καὶ σωφρονεστάτων τυχόντας ἐρα-
στῶν· ἀλλ᾽ ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἔψεξε. πάλιν ἐκ 157
τῶν μειρακίων καὶ τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων
πρῶτον μὲν τὸν ἀδελφιδοῦν τὸν Ἰφικράτους, υἱὸν δὲ Τι-
σίου τοῦ Ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ νυνὶ κρινομένου
Τιμάρχου· ὃς εὐπρεπὴς ὢν ἰδεῖν τοσοῦτον ἀπέχει τῶν
αἰσχρῶν, ὥστε πρῴην ἐν τοῖς κατ᾽ ἀγροὺς Διονυσίοις
κωμῳδῶν ὄντων ἐν Κολλυτῷ καὶ Παρμένοντος τοῦ ὑπο-
κριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον ἐν ᾧ ἦν
εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπε-
λάμβανεν εἰς τὸ μειράκιον, ἀλλ᾽ εἰς σὲ πάντες· οὕτω
κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. πάλιν Ἀντικλέα τὸν
σταδιοδρόμον καὶ Φειδίαν τὸν ἀδελφὸν τὸν Μελησίου.
ἔτι δὲ εἰπεῖν ἔχων πολλοὺς παύσομαι, ἵνα μὴ δοκῶ τὸν
ἔπαινον θεραπείᾳ τινὶ κατ᾽ αὐτῶν ποιεῖσθαι. περὶ δὲ τῶν 158
ὁμοτρόπων τῶν Τιμάρχου, φεύγων τὰς ἀπεχθείας, ὧν
ἥκιστά μοι μέλει μνησθήσομαι. τίς γὰρ ὑμῶν τὸν ὀρφα-
νὸν καλούμενον Διόφαντον οὐκ οἶδεν, ὃς τὸν ξένον πρὸς
τὸν ἄρχοντα ἀπήγαγεν ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζη-
νιεύς, ἐπαιτιασάμενος τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς

---

4. 5. ἐλευθερίως W, ἐλευθέρων C — 6. ἄνδρες add. h — 7. περιθοίδην am, περιθοίδου x — πολεμαγένη A — πανταλέοντα f, παντλέοντα d, παντολέοντα B — 9. καὶ om. m — 13. τὸν ἰφ. bm, τὸν τοῦ ἰφ. A, τοῦ ἰφ. a — 14. ῥαμνησίου f — νῦν d — 17. κολλυτῷ a, κωλυτῷ b, κολυττῷ x — παραμένοντος Am — 17. 18. τοῦ ὑποκριτοῦ W, τοῦ κωμικοῦ ὑποκριτοῦ C — 22. τὸν Bkk., τοῦ C — Μελησίου S. Μιλησίου C — 25. τῶν ante Τιμάρχου add. B — 27. οἶδεν: ᾔδεν ab.

πράξεως ταύτης ἀπεστερηκέναι, καὶ τοὺς νόμους λέγων οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους αὐτὸς ὑπερβεβηκώς; ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον καλλίστην ὥραν ὄψεως ἀκλεέστατα διεφθαρκότα; ἢ Μνησίθεον τὸν τοῦ μαγείρου καλούμενον; ἢ πολλοὺς ἑτέρους, ὧν ἑκὼν ἐπιλανθάνομαι;
159 οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ' ὄνομα πικρῶς βούλομαι, ἀλλὰ μᾶλλον τῶν τοιούτων ἔργων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. ἐπειδὴ δὲ ἑκατέρων προελόμενός τινας διεξελήλυθα, χωρὶς μὲν τοὺς διὰ σωφροσύνης ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας, ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες ἀποκρίνασθε πρὸς ἐμέ, εἰς ὁποτέραν τάξιν Τίμαρχον κατανέμετε, πότερον εἰς τοὺς ἐρωμένους ἢ εἰς τοὺς πεπορνευμένους; οὐκοῦν μὴ καταλιπὼν ἣν εἷλου συμμορίαν αὐτομολήσῃς εἰς τὰς τῶν ἐλευθέρων διατριβάς.

160 Ἐὰν δ' ἐπιχειρῶσι λέγειν ὡς οὐχ ἡταίρηκεν ὅστις μὴ κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον καὶ μάρτυρας ἀξιῶσί με τούτων παρασχέσθαι, πρῶτον μὲν τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. οὐ γὰρ εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατῄσχυνε, τοῦτ' ἐξήτασεν, ἀλλὰ παντελῶς, ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. εἰκότως· ὅστις γὰρ νέος ὢν ἀπέστη δι' αἰσχρὰς ἡδονὰς τῆς φιλοτιμίας, τοῦτον οὐκ ᾠήθη δεῖν πρεσβύτερον γενόμενον
161 ἐπίτιμον εἶναι. ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τού-

2. ἐπιμέλεσθαι? cf. III 255 — 3. αὐτὸς D Bkk., αὐτοὺς B, om. A — ὑπερβεβηκὼς ἐμίσει A — 8. αὐτὸν d — 9. ἀλλὰ om. f[1] — ἔργων del. Tur. — 11. προελόμενοι am, περιελόμενοι b — διεξεληλύθαμεν B — 12. σωφροσύνης l, σωφροσύνην C — 14. με d — 15. τὸν τίμαρχον Am — πότερα B — 16. μὴ om. b — 17. αὐτομολήσεις m, αὐτομολήσας d — 21. ἀξιώσει fm, ἀξίως d — 25. ἂν ὁπωσοῦν ἡ πρᾶξις D ex 165 — 27. 28. τῆς φιλοτιμίας A, τῆς εἰς τὰ καλὰ φιλοτιμίας BM — 28. post γενόμενον add. C: ὁ τοὺς νόμους εἰσφέρων, del. H.



του ῥᾴδιόν ἐστιν ἐξετάσαι. πάντες γὰρ ἂν τοῦθ' ὁμολογήσαιμεν, ὅτι τὰς συνθήκας τῆς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα, ἵνα ὁ μὴ παραβὰς τὰ γεγραμμένα δίκην λάβῃ τῇ ψήφῳ παρὰ τοῦ παραβάντος. οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προσδεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν ἂν ἀδικῶνται ἡ τῶν νόμων ὧν οὗτοί φασιν ἐπικουρία καταλείπεται. καὶ τίς ἂν ὁ λόγος ἑκατέρου φανείη; μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον ἀλλὰ γιγνόμενον τὸ
πρᾶγμα νομίσαθ' ὁρᾶν. ἔστω γὰρ ὁ μὲν μισθωσάμενος 162
δίκαιος εἰς τὸ πρᾶγμα, ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος, ἢ πάλιν τοὐναντίον ὁ μὲν μισθωθεὶς μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα, ὁ δὲ τὴν ἡλικίαν προλαβὼν καὶ μισθωσάμενος ἐψεύσθω· καὶ δικαστὰς ὑμᾶς αὐτοὺς ὑπολάβετε καθῆσθαι. οὐκοῦν ὁ πρεσβύτερος, ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ, κατηγορῶν μετὰ σπουδῆς, βλέπων
δηλονότι πρὸς ὑμᾶς, ἐρεῖ· „ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, 163
Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον τὸ παρὰ Δημοσθένει κείμενον·“ οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι· „ὁ δ' οὐ ποιεῖ μοι τὰ ὡμολογημένα.“ καὶ ταῦτ' ἤδη διέξεισι δηλονότι πρὸς τοὺς δικαστὰς λέγων ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν. ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον παρὰ τοὺς νόμους, καὶ προσοφλὼν ἄπεισιν ἐκ τοῦ δικαστηρίου οὐ τὴν ἐπωβελίαν μόνον ἀλλὰ καὶ ἄλλην ὕβριν; ἀλλ' οὐχ οὗτος ἀλλ' ὁ
μισθωθεὶς δικάζεται. λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βά- 164
ταλος ὑπὲρ αὐτοῦ ἵν' εἰδῶμεν τί ποτ' ἐρεῖ. „ἄνδρες δικασταί, ἐμισθώσατό με ἑταιρεῖν αὐτῷ ἀργυρίου ὁστισδηποτοῦν·“ οὐδὲν γὰρ διαφέρει· „κἀγὼ μὲν ἅπαντα καὶ πεποίηκα καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ γραμματεῖον, ἃ

1. πάντως a — 2. τῆς A, τὰς BM — 4. λάβῃ τῇ: λάβητε d — τῇ ψήφῳ mihi suspectum est — 6. ἂν W, ἂν C — ὧν: ἐξ ὧν R, ὡς Bremi — 7. ὁ om. A — 11. μέτριος am, δίκαιος Ab — 15. αὐτῷ W, αὐτῷ καὶ λόγου C — κατηγορῶν R, κατηγοριῶν A, κατηγορίαν a, καξηγορίας bm — 16. ἐρεῖ A, λέξει B — 17. γραμμάτιον a[1], cf. Herodian. II 458 — 19. ὁ δ' οὐ B, οὐ δὴ A, fort. ὁ δ' οὐ δὴ — 22. παρὰ: ἐπὶ b — 26. αὐτοῦ Tur. — 27. ἐπ' ἀργυρίου d — 28. διαφέρει H, διαφέρει οὕτως εἰρῆσθαι C.

χρὴ ποιεῖν τὸν ἑταιροῦντα· οὗτος δὲ ὑπερβαίνει τὰς συν-
θήκας." ἔπειτ᾽ οὐ πολλὴ κραυγὴ παρὰ τῶν δικαστῶν
αὐτῷ ἀπαντήσεται; τίς γὰρ οὐκ ἐρεῖ „εἶτ᾽ ἐμβάλλεις εἰς
τὴν ἀγορὰν ἢ στεφανοῖ ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν;"
165 οὐκοῦν οὐδὲν ὄφελος τῆς συγγραφῆς. πόθεν οὖν ἴσχυκε καὶ
σύνηθες γεγένηται λέγειν ὡς κατὰ γραμματεῖόν τινες
ἡταίρησαν, ἤδη ἐρῶ. ἀνὴρ εἷς τῶν πολιτῶν (τὸ δ᾽ ὄνομα
οὐ λέξω· τὰς γὰρ ἀπεχθείας φεύγω) οὐδὲν προϊδόμενος
ὧν ὀλίγῳ πρότερον ἐγὼ διεξῆλθον πρὸς ὑμᾶς, λέγεται
παρὰ συνθήκας ἡταιρηκέναι τὰς παρ᾽ Ἀντικλεῖ κειμένας,
οὐκ ὢν ἰδιώτης ἀλλὰ πρὸς τὰ κοινὰ προσιών· καὶ λοιδο-
ρίαις περιπίπτων εἰς συνήθειαν ἐποίησε τοῦ λόγου τούτου
τὴν πόλιν καταστῆναι, καὶ διὰ τοῦτο ἐρωτῶσί τινες εἰ
κατὰ γραμματεῖον ἡ πρᾶξις γεγένηται. ὁ δὲ νομοθέτης
οὐχ ὅπως τὸ πρᾶγμα γεγένηται ἐφρόντισεν, ἀλλ᾽ ἐὰν
ὁπωσοῦν μίσθωσις γένηται, κατέγνωκε τοῦ πράξαντος
αἰσχύνην.

166 Ἀλλ᾽ ὅμως οὕτω σαφῶς τούτων διωρισμένων πολλαὶ
παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται. καὶ
ταῖς μὲν ὑπὲρ τοῦ πράγματος κακοηθείαις λεγομέναις
ἧττον ἄν τις ἀγανακτήσειεν· ἃ δὲ ἔξωθεν ἐπεισάξεται
λυμαινόμενος τὰ τῆς πόλεως δίκαια, ἐπὶ τούτοις ἄξιόν
ἐστιν ὀργισθῆναι. πολὺς μὲν γὰρ ὁ Φίλιππος ἔσται,
ἀναμιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα Ἀλεξάνδρου.
καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις οὗτος καὶ
167 ἀπαίδευτος ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ εἰς τὸν Φίλιππον
τῷ λόγῳ πλημμελεῖν ἀμαθὲς μὲν καὶ ἄκαιρον, ἔλαττον
δ᾽ οὗ μέλλω λέγειν ἁμάρτημα· ὁμολογουμένως γὰρ εἰς
ἄνδρα καίπερ οὐκ ὢν αὐτὸς ἀνὴρ τὰς βλασφημίας ποιή-
σεται· ὅταν δὲ ταῖς εἰς τὸν παῖδα πεπραγματευμέναις

2. κραυγὴ καὶ θόρυβος ἀπαντήσεται παρ᾽ ὑμῶν Rhet. W. VII 152 — 3. αὐτῶν d — εἶτ᾽ W, ἐπὴν a¹m, ἐπὰν a²b, ἐπειδὰν h, ἔπειτα x — ἐμβάλλεις Bremi, ἐμβαλεῖς A, ἐμβάλλῃ B — 4. πράττῃ B — 6. τινες Schultz, ἤδη τινὲς C — 7. malim ἡταίρησαν; ἐγὼ ἐρῶ. — εἷς: τις Co, cf. 180. 182. — τὸ δ᾽ om. A — 8. προϊδόμενος a¹, προειδόμενος x — 10. παρὰ W, παρὰ τὰς A, κατὰ B — 16. γένηται a²b, γεγένηται x — 19. παρεκβολαὶ a¹ — 20. ὑπὲρ H. Wolf, ὑπὸ C.



μεταφοραῖς ὀνομάτων αἰσχρὰς ὑποψίας παρεμβάλῃ, κα-
ταγέλαστον τὴν πόλιν ποιεῖ. ὡς γὰρ τὰς ἐμὰς εὐθύνας 168
βλάπτων, ἃς ὑπὲρ τῆς πρεσβείας μέλλω διδόναι, φησί με,
ὅτ᾽ αὐτὸς πρῴην ὑπὲρ τοῦ παιδὸς Ἀλεξάνδρου διεξῄει
ὡς ἐν τῷ πότῳ ἡμῶν κιθαρίζοι καὶ λέγοι ῥήσεις τινὰς
καὶ ἀντικρούσεις πρὸς ἕτερον παῖδα, καὶ περὶ τούτων ἃ
δή ποτε αὐτὸς ἐτύγχανε γιγνώσκων πρὸς τὴν βουλὴν
ἀπεφήνατο, οὐχ ὡς συμπρεσβευτὴν ἀλλ᾽ ὡς συγγενῆ τοῖς
εἰς τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι. ἐγὼ δ᾽ Ἀλεξάν- 169
δρῳ μὲν εἰκότως διὰ τὴν ἡλικίαν οὐ διείλεγμαι, Φίλιππον
δὲ νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ· ἐὰν δ᾽
αὐτὸς ἐν τοῖς πρὸς ὑμᾶς ἔργοις γένηται οἷος νῦν ἐστιν
ἐν τοῖς ἐπαγγέλμασιν, ἀσφαλῆ καὶ ῥᾴδιον τὸν καθ᾽ αὑτοῦ
ποιήσει ἔπαινον. ἐπετίμησα δ᾽ ἐν τῷ βουλευτηρίῳ Δη-
μοσθένει οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ᾽ ἐὰν τὰ τοι-
αῦτα ἀποδέχησθε, ὁμοίαν νομίζων τὴν πόλιν φανήσεσθαι
τῇ τοῦ λέγοντος ἀκοσμίᾳ.

Ὅλως δ᾽, ὦ ἄνδρες, τὰς ἔξωθεν τοῦ πράγματος ἀπο- 170
λογίας μὴ προσδέχεσθε, πρῶτον μὲν τῶν ὅρκων ἕνεκα οὓς
ὠμόσατε, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ
ἀνθρώπου τεχνίτου λόγων. μικρὸν δ᾽ ἄνωθεν ἄρξομαι
διδάσκειν ὑμᾶς. Δημοσθένης γὰρ ἐπειδὴ τὴν πατρῴαν
οὐσίαν ἀνάλωσε, περιῄει κατὰ τὴν πόλιν θηρεύων νέους
πλουσίους ὀρφανούς, ὧν οἱ μὲν πατέρες ἐτετελευτήκεσαν,
αἱ δὲ μητέρες διῴκουν τὰς οὐσίας. πολλοὺς δ᾽ ὑπερβὰς
ἑνὸς τῶν δεινὰ πεπονθότων ὑπὸ τούτου μνησθήσομαι.
κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην, ἧς 171

1. διαφοραῖς d — παρεμβάλλῃ b — 3. φασὶ (η above α) d, φήσει f — 4. πρῴην: add. BM πρὸς τὴν βουλὴν — διεξίῃ d — 6. ἀντιθέσεις d — 11. δὲ om. Thom. Mag. 158 — 12. αὐτὸς: αὐτὸς A, ὁ αὐτὸς B — ἡμᾶς B — ἔργοις: τοῖς ἔργοις B — 14. ποιήσει Bkk Co, ποιήσεται C — 16. ὁμοίαν: ὁμόνοιαν A — νομίζω b — 18. ἄνδρες W, Ἀθηναῖοι C — 19. προσδέχησθε Am — ἕνεκεν C — 21. ἀνθρώπου om. d — μικρόν: maiorem hinc lacunam statuit Taylor — 23. οὐσίαν om. a¹m, nescio an rectius — C ἀνάλωκε? Exspectaveris plusquamperfectum. — κατὰ W, περὶ C — 24. τετελευτήκεσαν a¹, ἐτελεύτησαν b, τετελευτήκεισαν Am — 25. τὴν οὐσίαν B — 26. παθόντων d¹ — 27. κατιδὼν .. εὐνομουμένην Thom. 158.

ἡγεμὼν μὲν ἦν γυνὴ μέγα φρονοῦσα καὶ νοῦν οὐκ ἔχουσα,
νεανίσκος δὲ ὀρφανὸς ἡμιμανὴς διεχείριζε τὴν οὐσίαν,
Ἀρίσταρχος ὁ τοῦ Μόσχου, τούτου προσποιησάμενος
ἐραστὴς εἶναι καὶ τὸ μειράκιον εἰς τὴν φιλανθρωπίαν
ταύτην προσκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας ὡς
αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα, κατάλογον
172 ἀποφαίνων, τοιούτων εἰσηγητὴς αὐτῷ καὶ διδάσκαλος
ἔργων ἐγένετο ἐξ ὧν ἐκεῖνος μὲν φεύγει τὴν πατρίδα,
οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προλαβὼν τρία
τάλαντα ἀπεστέρηκε, Νικόδημος δ' ὁ Ἀφιδναῖος ὑπ'
Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δεί-
λαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἐκ-
τμηθεὶς ᾗ ἐπαρρησιάζετο πιστεύων τοῖς νόμοις καὶ
173 ὑμῖν. ἔπειθ' ὑμεῖς, ὦ ἄνδρες, Σωκράτην μὲν τὸν σοφι-
στὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα
τῶν τὸν δῆμον καταλυσάντων, Δημοσθένης δ' ὑμῖν ἑταί-
ρους ἐξαιτήσεται ὁ τηλικαύτας τιμωρίας λαμβάνων παρὰ
τῶν ἰδιωτῶν καὶ δημοτικῶν ἀνθρώπων ὑπὲρ τῆς ἰσηγο-
ρίας; ᾧ παρακεκλημένοι τινὲς τῶν μαθητῶν ἥκουσιν ἐπὶ
τὴν ἀκρόασιν· κατεπαγγέλλεται γὰρ πρὸς αὐτοὺς ἐργολα-
βῶν ἐφ' ὑμᾶς, ὡς ἐγὼ πυνθάνομαι, λήσειν μεταλλάξας
174 τὸν ἀγῶνα καὶ τὴν ὑμετέραν ἀκρόασιν, καὶ παραστήσειν
τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ,
ἐκπεπλῆχθαι δὲ τῷ κατηγόρῳ καὶ πεφοβῆσθαι περὶ αὑτοῦ,
τοσούτους δὲ καὶ τηλικούτους ἐκκαλεῖσθαι παρὰ τῶν δι-
καστῶν θορύβους παρεμβάλλων τὰς ἐμὰς δημηγορίας καὶ
ψέγων τὴν εἰρήνην τὴν δι' ἐμοῦ καὶ Φιλοκράτους γεγε-
νημένην, ὥστ' οὐδ' ἀπαντήσεσθαί με ἐπὶ τὸ δικαστήριον
ἀπολογησόμενον ὅταν τῆς πρεσβείας τὰς εὐθύνας διδῶ,

3. τούτου . . προσκαλεσάμενος Thom. 388 — 4. φιλανθρωπίαν Aab Thom., φιλίαν m — 6. πρωτεύσαντα f — 10. ἀπεστέρησε m — 11. ἀριστάρχῳ A, ἀρισταγόρου Suid. — 12. 13. ἐκτμηθεὶς Suid. s. v. παρρησία, cf. Halbertsma Mnem. IV 232, ἀποτμηθεὶς C — 14. Ἀθηναῖοι C — 15. ἕνα W, ἕνα τῶν τριάκοντα C — 21. λύσειν d — 23. φεύγοντι Suid. s. v. δεῦρο, φυγόντι C — 25. ἐκκαλεῖσθαι Co, ἐκκαλέσασθαι Abm, ἐκκαλέσεσθαι a — 26. παρεκβάλλων $Aa^2b$ — 28. οὐδ': οὐκ A, οὐδὲ B — ἐπὶ: εἰς f — 29. ἀπολογησάμενον f — τὰς τῆς πρεσβ. εὐθ. BM.



ἀλλ' ἀγαπήσειν ἐὰν μετρίῳ τιμήματι περιπέσω καὶ μὴ
θανάτῳ ζημιῶμαι· μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν 175
γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε, ἀλλ' ὑπο-
λάβεθ' ὁρᾶν εἰσεληλυθότα ἀπὸ τοῦ δικαστηρίου οἴκαδε
καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ καὶ δι-
εξιόντα ὡς εὖ τὸ πρᾶγμα ὑφείλετο τῶν δικαστῶν· „ἀπα-
γαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν ἐπέ-
στησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φίλιππον καὶ Φω-
κέας, καὶ φόβους ἐπήρτησα τοῖς ἀκροωμένοις, ὥσθ' ὁ
μὲν φεύγων κατηγόρει, ὁ δὲ κατηγορῶν ἐκρίνετο, οἱ δὲ
δικασταὶ ὧν μὲν ἦσαν δικασταὶ ἐπελάθοντο, ὧν δ' οὐκ
ἦσαν, περὶ τούτων ἤκουον." ὑμέτερον δ' ἔργον πρὸς ταῦτα 176
ἀντιτετάχθαι καὶ πανταχῇ παρακολουθοῦντας μηδαμῇ
παρεκκλίνειν αὐτὸν ἐᾶν μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις
διισχυρίζεσθαι· ἀλλ' ὥσπερ ἐν ταῖς ἱπποδρομίαις εἰς
τὸν τοῦ πράγματος δρόμον εἰσελαύνετε. κἂν ταῦτα ποιῆτε,
οὐ καταφρονηθήσεσθε καὶ τὴν αὐτὴν ἕξετε γνώμην νο-
μοθετοῦντες καὶ δικάζοντες· εἰ δὲ μή, δόξετε μελλόντων
μὲν γίγνεσθαι τῶν ἀδικημάτων προαισθάνεσθαι καὶ ὀρ-
γίζεσθαι, γεγονότων δὲ οὐκέτι φροντίζειν.

Ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν κολάζητε 177
τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι,
ἐὰν δ' ἀφιῆτε, καλοὶ μὲν κύριοι δ' οὐκέτι. ὧν δ' ἕνεκα
ταῦτα λέγω, οὐκ ὀκνήσω πρὸς ὑμᾶς παρρησιάσασθαι.
ἔσται δ' ὁ λόγος ἐπὶ παραδείγματος. διὰ τί οἴεσθε, ὦ
ἄνδρες, τοὺς μὲν νόμους καλῶς κεῖσθαι, τὰ δὲ ψηφί-
σματα εἶναι τῆς πόλεως καταδεέστερα καὶ τὰς κρίσεις
ἐνίοτε τὰς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; ἐγὼ
τὰς τούτων αἰτίας ἐπιδείξω. ὅτι τοὺς μὲν νόμους τίθεσθε 178

2. μηδενὶ δὴ τρόπῳ . . καὶ Φωκεῖς Alex. Sp. III 21 — 3. 4. ὑπολαμβάνεθ' A — 5. καὶ om. $f^1$ — 9. ἀπήρτησα d — 11. 12. οὐκ ἦσαν Co, οὐκ ἦσαν κριταί C — 12. ἔργον W, ἐστὶν ἔργον Am, ἔργον ἐστὶ ab — 13. καὶ om. A — μηδαμῇ μηδαμῶς a — 14. παρακλίνειν d, ἐξαγωνίοις? An. Bkk. 260 — 15. τοῖς ἱπποδρόμοις d — 16. δρόμον A, αὐτοῦ δρόμον a, αὐτοῦ λόγον b, αὐτὸν δρόμον m Plin. ep. IX 26 et III 206 — 17. καὶ $f^1$, ἀλλὰ B, ἀλλὰ καὶ d — 23. ἀφῆτε B — 26. ἄνδρες d, Ἀθηναῖοι b, ἄνδρες Ἀθηναῖοι x — μὲν νόμους Co, νόμους μὲν C — 29. τίθετε $a^2b$.

ἐπὶ πᾶσι δικαίοις, οὔτε κέρδους ἕνεκ᾽ [ἀδίκου] οὔτε χάριτος οὔτ᾽ ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ᾽ οἶμαι φύντες ἑτέρων μᾶλλον εἰκότως καλλίστους νόμους τίθεσθε. ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶγμα λόγων ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων ὑπάγεσθε καὶ πάντων ἀδικώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε· ἐᾶτε γὰρ τοὺς
179 ἀπολογουμένους ἀντικατηγορεῖν τῶν κατηγορούντων. ἐπειδὰν δ᾽ ἀποσπασθῆτε καὶ τὰς ψυχὰς ἐφ᾽ ἑτέρων γένησθε, εἰς λήθην ἐμπεσόντες τῆς κατηγορίας ἐξέρχεσθ᾽ ἐκ τῶν δικαστηρίων οὐδὲ παρ᾽ ἑτέρου δίκην εἰληφότες, οὔτε παρὰ τοῦ κατηγόρου, ψῆφος γὰρ κατ᾽ αὐτοῦ οὐ δίδοται, οὔτε παρὰ τοῦ ἀπολογουμένου, ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τὰ ὑπάρχοντα αὑτῷ ἐγκλήματα ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου· οἱ δὲ νόμοι καταλύονται καὶ ἡ δημοκρατία διαφθείρεται καὶ τὸ ἔθος ἐπὶ πολὺ προβαίνει· εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε.

180 Ἀλλ᾽ οὐ Λακεδαιμόνιοι· καλὸν δ᾽ ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. δημηγοροῦντος γάρ τινος ἐν τῇ τῶν Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς λέγειν δ᾽ εἰς ὑπερβολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων, ὥς φασι, κατὰ τὴν ἐκείνου γνώμην ψηφίζεσθαι μελλόντων, παρελθών τις τῶν γερόντων, οὓς ἐκεῖνοι αἰσχύνονται καὶ δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι, καθιστᾶσι δ᾽ αὐτοὺς ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων, τούτων εἷς, ὥς λέγεται, παρελθὼν ἰσχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις, καί τι τοιοῦτο κατ᾽ αὐτῶν ἐβλασφήμησεν,

1. πᾶσι δικαίοις Hillebrand, πᾶσι τοῖς δικαίοις C, *cf. ad* III 170 — 1. 2. οὔτε χάριτος *om.* A — 3. ἐπιδέξιοι ... μᾶλλον Thom. 159 — 4. τίθετε a²b — 7. ἄγεσθε B — 8. ἐς a — 10. ἀποσπασθῆτ᾽ ἀπὸ τῆς ἀπολογίας A, ἀπὸ τῆς ἀπολογίας ἀποσπασθῆτε B, *em.* W, *nam si quidquam, adscriberem* ἀπὸ τοῦ πράγματος — ταῖς ψυχαῖς Emperius, *cf. ad* III 153 Dem. 52, 2 — 11. ἐμπ. Bait., ἐκπ. C — τῆς *om.* B — 12. οὔτε m — 25. τῶν *om.* d — 26. καὶ αἰσχ. BM.



ὡς οὐ πολὺν χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις χρώμενοι. ἅμα 181
δὲ παρακαλέσας ἄλλον τινὰ τῶν Λακεδαιμονίων, ἄνδρα λέγειν μὲν οὐκ εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας οὕτως ὅπως ἂν δύνηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ, „ἵν᾽“ ἔφη „οἱ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξαμένου ψηφίσωνται, τὰς δὲ τῶν ὑποδεδειλιακότων καὶ πονηρῶν ἀνθρώπων φωνὰς μηδὲ τοῖς ὠσὶ προσδέχωνται.“ ταῦθ᾽ ὁ γέρων ὁ ἐκ παιδὸς σεσωφρονηκὼς παρῄνεσε τοῖς ἑαυτοῦ πολίταις. ταχύ γ᾽ ἂν Τίμαρχον ἢ τὸν κίναιδον Δημοσθένην εἴασε πολιτεύεσθαι.

Ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν, καὶ 182
τῶν ἡμετέρων προγόνων μνησθήσομαι. οὕτω γὰρ ἦσαν πρὸς τὰς αἰσχύνας χαλεποὶ καὶ περὶ πλείστου τῶν τέκνων τὴν σωφροσύνην ἐποιοῦντο, ὥστ᾽ ἀνὴρ εἷς τῶν πολιτῶν, εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην καὶ τὴν ἡλικίαν οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμησεν αὐτὴν μεθ᾽ ἵππου εἰς ἔρημον οἰκίαν, ὑφ᾽ οὗ προδήλως ἔμελλεν ἀπολεῖσθαι συγκαθειργμένη. καὶ ἔτι καὶ νῦν τῆς οἰκίας ταύτης ἕστηκε τὰ οἰκόπεδα ἐν τῷ ὑμετέρῳ ἄστει, καὶ ὁ τόπος οὗτος καλεῖται παρ᾽ ἵππον καὶ κόρην. ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος 183
γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. τὴν γὰρ γυναῖκα ἐφ᾽ ᾗ ἂν ἁλῷ μοιχὸς οὐκ ἐᾷ κοσμεῖσθαι οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τὰς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμιγνυμένη διαφθείρῃ· ἐὰν δ᾽ εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει

1. οἰκίσουσιν ἀπόρθητον d — 3. παρακαλέσας Steph., παρακελεύσας C — 4. εὐφυῆ A — 8. 9. δὲ ὑπὸ τῶν δεδειλιακότων d — 12. γ᾽ ἂν Porson. D, γὰρ C — 15. προγόνων: γονέων a — 16. περὶ: ὑπὲρ d — πλείονος A — 20. ἀφ᾽ m — 21. διὰ λιμὸν *quod in* E *est post* ἀπολεῖσθαι *sustulit* D, *cf.* Schol. — 23. ἡμετέρῳ d — 24. κόρην A Dio Chrys. 32, 692 R, κόραν B — ἐνδοξ.: μάλιστα εὐδοκιμῶν Suid. v. ἀρχαῖον — 26. *pro* ἁλῷ *lacuna in* b — 28. μιγνυμένη A.

καταρρηγνύναι τὰ ἱμάτια καὶ τὸν κόσμον ἀφαιρεῖσθαι
καὶ τύπτειν, εἰργόμενον θανάτου καὶ τοῦ ἀνάπηρον ποιῆ-
σαι, ἀτιμάζων τὴν τοιαύτην γυναῖκα καὶ τὸν βίον ἀβίωτον
184 αὐτῇ παρασκευάζων. καὶ τοὺς προαγωγοὺς γράφεσθαι
κελεύει, κἂν ἁλῶσι θανάτῳ ζημιοῦν, ὅτι τῶν ἐξαμαρτά-
νειν ἐπιθυμούντων ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις
ἐντυγχάνειν αὐτοὶ τὴν αὑτῶν ἀναίδειαν παρασχόντες ἐπὶ
μισθῷ τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν.
185 Ἐπειθ᾽ οἱ μὲν πατέρες ὑμῶν οὕτω περὶ τῶν αἰ-
σχρῶν καὶ καλῶν διεγίγνωσκον, ὑμεῖς δὲ Τίμαρχον τὸν
τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄνδρα
μὲν καὶ ἄρρενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρ-
τηκότα; τίς οὖν ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρή-
σεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει τῇ μὲν κατὰ
φύσιν ἁμαρτανούσῃ χαλεπαίνων, τῷ δὲ παρὰ φύσιν ἑαυ-
186 τὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; τίνα δ᾽ ἔχων ἕκαστος
ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε
γὰρ ὁ κρινόμενος ἀφανὴς ἀλλὰ γνώριμος, οὔθ᾽ ὁ νόμος
ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος ἀλλὰ κάλλι-
στος, τό τ᾽ ἐρέσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς
ἑαυτῶν οἰκείους ὅπως τὸ πρᾶγμα κέκριται πρόχειρον.
187 τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου νυνὶ γεγονότες κύριοι,
ὅταν οἱ ὑμέτεροι παῖδες ὑμᾶς ἔρωνται εἰ κατεδικάσατε
ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολῦσαι ὁμολογή-
σετε καὶ τὴν κοινὴν παιδείαν ἀνατρέψετε; τί δ᾽ ὄφελος
παιδαγωγοὺς τρέφειν ἢ παιδοτρίβας ἢ διδασκάλους τοῖς
παισὶν ἐφιστάναι, ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην
ἔχοντες πρὸς τὰς αἰσχύνας κατακάμπτωνται;
188 Θαυμάζω δ᾽ ὑμῶν, ὦ ἄνδρες, κἀκεῖνο, εἰ τοὺς μὲν πορ-

1. διαρρηγνύναι a²b — 3. ἀτιμάζων Co, ἀτιμῶν C — 4. τοὺς προαγωγοὺς Aldina, τὰς (τοὺς b) προαγωγοὺς καὶ τοὺς προαγωγοὺς Aab, τὰς προαγωγοὺς m, *fort.* τοὺς προαγωγοὺς πάντας καὶ πάσας — 9. ἡμῶν d — 10. τὸν B, ὄντα AM — 12. γυναῖκα ὑμῶν m — 20. ἐρέσθαι b, ἔρεσθαι x, *cf.* Herod. Cath. 466. Iliac. Pros. 99 — 22. νυνὶ *om.* A — 25. δ᾽: δαὶ m, καὶ a — 26. ἢ διδ. A, καὶ διδ. B — 27. ἐφεστάναι d — 29. Ἀθηναῖοι C.



νοβοσκοὺς μισεῖτε, τοὺς δ᾽ ἑκόντας πεπορνευμένους ἀφή-
σετε· καί, ὡς ἔοικεν, ὁ αὐτὸς οὗτος ἀνὴρ ἱερωσύνην μὲν
οὐδενὸς θεῶν κληρώσεται, ὡς οὐκ ὢν ἐκ τῶν νόμων
καθαρὸς τὸ σῶμα, γράψει δ᾽ ἐν τοῖς ψηφίσμασιν εὐχὰς
ὑπὲρ τῆς πόλεως ταῖς σεμναῖς θεαῖς. εἶτα τί θαυμάζο-
μεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ
δήμου γνώμας ἐπιγραφομένων; καὶ τὸν αἰσχρῶς οἴκοι
βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν, καὶ
τούτῳ περὶ τῶν μεγίστων διαπιστεύσομεν; τί δ᾽ οὐκ ἂν
ἀποδοῖτο ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ᾽
ἂν οὗτος ἐλεήσειεν ὁ αὑτὸν οὐκ ἐλεήσας;
Τίνι δ᾽ ὑμῶν οὐκ εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδε- 189
λυρία; ὥσπερ γὰρ τοὺς γυμναζομένους, κἂν μὴ παρῶμεν
ἐν τοῖς γυμνασίοις, εἰς τὰς εὐεξίας αὐτῶν ἀποβλέποντες
γιγνώσκομεν, οὕτω τοὺς πεπορνευμένους, κἂν μὴ παρῶ-
μεν αὐτῶν τοῖς ἔργοις, ἐκ τῆς ἀναιδείας καὶ τοῦ θράσους
καὶ τῶν ἐπιτηδευμάτων γιγνώσκομεν. ὁ γὰρ περὶ τῶν
μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν ἔχει
τινὰ ἕξιν τῆς ψυχῆς, ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ
τρόπου γίγνεται.
Πλείστους δ᾽ ἂν εὕροιτ᾽ ἐκ τῶν τοιούτων ἀνθρώ- 190
πων πόλεις ἀνατετραφότας καὶ ταῖς μεγίσταις συμφο-
ραῖς αὐτοὺς περιπεπτωκότας. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες,
τὰς τῶν ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν ἀλλ᾽ οὐχ ὑπ᾽
ἀνθρώπων ἀσελγείας γίγνεσθαι, μηδὲ τοὺς ἠσεβηκότας,
καθάπερ ἐν τραγῳδίαις, Ποινὰς ἐλαύνειν καὶ κολάζειν
δᾳσὶν ἡμμέναις· ἀλλ᾽ αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ 191
καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ λῃστήρια,
ταῦτ᾽ εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει, ταῦτά ἐστιν

1. ἑκόντας: ἔχοντας A — 4. γράφει m — ἐν *om.* A — 5. ταῖς *om.* d — 10. ἀπόδοιτο A — ἄν: ἄρ᾽ m — 12. εὔγνωτος b — 14. γυμνασίοις .. τοῖς *om.* m — 16. αὐτῶν τοῖς A, τοῖς αὐτῶν BM — 17. περί: ἐπὶ glF — 20. τρόπου: ἔργου m¹ — 22. ἀνατετροφότας BM — 23. μὴ γὰρ οἴεσθε .. γίνεσθαι Theon. Sp. II 107 — Ἀθηναῖοι C — 24. ἀτυχημάτων g Theo. Progym. 7 — 26. ἐν τραγῳδίαις W, ἐν τραγῳδίᾳ A, ἐν ταῖς τραγῳδίαις B — 29. ἐστιν *om.* m — ταῦτά ἐστιν ἑκάστῳ ποινὴ *ponit* D *ante* ταῦτα πληροῖ.

ἑκάστῳ Ποινή, ταῦτα παρακελεύεται σφάττειν τοὺς πολίτας, ὑπηρετεῖν τοῖς τυράννοις, συγκαταλύειν τὸν δῆμον. οὐ γὰρ τὴν αἰσχύνην οὐδ᾽ ἃ πείσονται λογίζονται, ἀλλ᾽ ἐφ᾽ οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις κεκήληνται. ἐξαιρεῖτ᾽ οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων ζηλώματα ἐπ᾽ ἀρετὴν προτρέψεσθε.

192 Εὖ γὰρ ἐπίστασθε, καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε, εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει κατασκευάσετε· εἰ δ᾽ ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος. πρὶν μὲν γὰρ εἰς κρίσιν Τίμαρχον καταστῆναι φόβον τισὶ παρεῖχεν ὁ νόμος καὶ τὸ τῶν δικαστηρίων ὄνομα· εἰ δ᾽ ὁ πρωτεύων βδελυρίᾳ καὶ γνωριμώτατος εἰσελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος ἀλλ᾽ ὁ καιρὸς
193 ὑμᾶς ἐξοργιεῖ. μὴ οὖν εἰς ἀθρόους ἀλλ᾽ εἰς ἕνα ἀποσκήψατε, καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῷ παρατηρεῖτε· ὧν οὐδενὸς ἐγὼ ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται, ὡς οὐκ ἂν παρῆλθον εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. ἀλλ᾽ ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω. ἔσται δ᾽ αὐτὸς ἑαυτῷ ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ
194 καὶ ἀναισχυντῇ. τούτῳ γὰρ πάρεισιν ἐκ τριῶν εἰδῶν συνήγοροι, οἱ μὲν ταῖς καθ᾽ ἡμέραν δαπάναις ἀνηλωκότες τὰς πατρῴας οὐσίας, οἱ δὲ ταῖς ἡλικίαις καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς κεχρημένοι καὶ δεδιότες οὐ περὶ Τιμάρχου ἀλλὰ περὶ ἑαυτῶν καὶ τῶν ἐπιτηδευμάτων, μή ποτε εἰς κρίσιν καταστῶσιν· ἕτεροι δ᾽ ἐκ τῶν

1. παρακελεύεται: *add.* AM τοῖς νέοις — τοὺς *om.* A — 4. 5. κέκληνται A — 5. ἄνδρες *add.* W — 6. 7. προτρέψεσθε Co, προτρέψασθε C — 8. εὖ γὰρ W, εὖ δ᾽ B, ἓν δ᾽ εὖ AM — 12. μὲν *om.* m — 17. ἀθρόους C, *cf.* Herodian. II 716 — 18. αὐτῷ Tur., αὐτῶν C — 19. ὀνόματι A — 23. σώματα αὐτῶν A — 25. παρίασιν Aa²b, *cf.* II 179 — 27. καὶ *om.* A.



ἀκολάστων καὶ τῶν τοῖς τοιούτοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν πιστεύοντες ῥᾷόν τινες ἐξαμαρτάνωσιν. ὧν πρὶν τῆς συνηγορίας ἀκοῦσαι τοὺς 195
βίους ἀναμιμνήσκεσθε, καὶ τοὺς μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν ἐνοχλεῖν ἀλλὰ παύσασθαι δημηγοροῦντας κελεύετε· οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει· τοὺς δὲ τὰ πατρῷα κατεδηδοκότας ἐργάζεσθαι καὶ ἑτέρωθεν κτᾶσθαι τὸν βίον, τοὺς δὲ τῶν νέων, ὅσοι ῥᾳδίως ἁλίσκονται, θηρευτὰς ὄντας εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους τρέπεσθαι, ἵνα μήτ᾽ ἐκεῖνοι τῆς προαιρέσεως ἀποστερῶνται μήθ᾽ ὑμεῖς βλάπτησθε.

Τὰ μὲν οὖν παρ᾽ ἐμοῦ δίκαια πάντα ἀπειλήφατε· 196
ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου. νῦν μὲν οὖν ὑμεῖς ἐστε τῶν ἐμῶν λόγων κριταί, αὐτίκα δ᾽ ὑμέτερος ἐγὼ θεατής· ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις καταλείπεται.

1. τοῖς *om.* a¹dm — 2. ῥᾴδιόν A — 3. τὴν συνηγορίαν A — 5. ὀχλεῖν m — 7. δὲ *om.* m — 9. βίον W, βίον κελεύετε C — 10. τρέπεσθαι W, τρέπεσθαι κελεύετε C — 11. ἀποστέρωνται bm — 17. καταλείπεται. εἰ οὖν βουλήσεσθε, τὰ δίκαια καὶ συμφέροντα ὑμῶν ποιησάντων, φιλοτιμότερον ἡμεῖς ἕξομεν τοὺς παρανομοῦντας ἐξετάζειν. A.

II

# ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

Conpendia:

A = ekl Bekkeri.
$A^{1}$ = eikl Bekkeri.
$A^{2}$ = eik.
B = agm } Bekkeri.
M = df } Bekkeri.
C = Codices.
x = Ceteri Codices.

---

## *ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.*

*Δέομαι ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί μου μετ᾽ εὐνοίας ἀκοῦσαι λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα, ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας ὀμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι τοῦ κινδυνεύοντος φωνὴν
μὴ ὑπομένειν. καὶ ταῦτ᾽ εἶπεν οὐ δι᾽ ὀργήν· οὐδεὶς γὰρ* 2
*τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται, οὐδ᾽ οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα· οὐ γὰρ πρότερον ἡ κατηγορία παρὰ τοῖς ἀκούουσιν ἰσχύει, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν
ἀδυνατήσῃ τὰς προειρημένας αἰτίας ἀπολύσασθαι. ἀλλ᾽* 3
*οἶμαι Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις, οὐδ᾽ οὕτος παρεσκεύασται ἀλλ᾽ ἢ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι. κατηγόρηκε δωροδοκίας ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην· τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις προτρέποντα ὀργίζεσθαι αὐτὸν χρὴ τῶν τοιούτων ἔργων πολὺ ἀπέχειν.
ἐμοὶ δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, συμβέβηκε τῆς Δημοσθέ-* 4
*νους ἀκούοντι κατηγορίας μήτε δεῖσαι πώποθ᾽ οὕτως*

---

2. *ἄνδρες add.* $A^{2}$ — *ἐθελῆσαί μου* $A^{1}$, *ἐθελῆσαι* BM *pronomine post ἀκοῦσαι posito.* — 8. *τοῦ* A, *τὴν τοῦ* x — 12. *ἡ κατηγορία* $A^{1}$. *κατήγορος* B, *an ὁ κατηγορῶν?* — 14. *ἀπολύσασθαι* BM, *λύειν* $A^{1}$, *ἀπολύειν* s, *cf.* I 122 — 15. *οὗτος* W, *οὕτω* C — 16. *ἀλλ᾽ ἢ* W, *ἀλλὰ* C — *ἐκκαλέσασθαι: add.* $A^{1}$ *βούλεται, βεβούληται* BM — 17. *κατηγόρηκε* W, *καὶ κατηγόρηκε* C — 17. 18. *ὑπόληψιν* ikl — 18. *προτρέποντα* W, *τοὺς δικαστὰς προτρέποντα* A, *τὸν δικαστὴν προτρεπόμενον* i, *προτρεπόμενον τοὺς δικαστάς* B — 19. *πολὺ ante τῶν* ik, *om.* el — *ἀπέχειν* W, *ἀπέχεσθαι* $A^{1}$, *ἀφεστάναι* BM, *cf.* I 17 — 20. *ἄνδρες om.* ag, *Ἀθηναῖοι om.* M.

ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν,
μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι. ἐφοβήθην μὲν γάρ,
καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί
με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοή-
θεσι τούτοις ἀντιθέτοις· ἐξέστην δ' ἐμαυτοῦ καὶ τὴν
αἰτίαν βαρέως ἤνεγκα, ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυ-
ναῖκα ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν κατηγόρει μου·
ἥσθην δὲ ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξε-
βάλλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν
5 ἀπειληφέναι νομίζω. ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφε-
ρόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων
πιστεύετε ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ'
οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. εἰ γάρ τις
ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται, σχεδὸν δ' οἱ
πλεῖστοι τῶν πολιτῶν πάρεισιν, ἢ τῶν δικαζόντων ὑμῶν,
ὡς ἐγὼ τοιοῦτόν τι διαπέπραγμαι μὴ μόνον εἰς ἐλεύθε-
ρον σῶμα ἀλλὰ καὶ εἰς τὸ τυχόν, ἀβίωτον εἶναί μοι τὸν
λοιπὸν βίον νομίζω· κἂν μὴ προϊούσης τῆς ἀπολογίας
ἐξελέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ καὶ τὸν τολμήσαντ'
εἰπεῖν ἀνόσιον καὶ συκοφάντην, κἂν τἆλλα πάντα μηδὲν
6 ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι. παράδοξος δέ μοι
κἀκεῖνος ὁ λόγος ἐφάνη καὶ δεινῶς ἄδικος, ὅθ' ὑμᾶς
ἐπηρώτα εἰ οἷόν τ' ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους
μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἑαυτοῦ
ἀδικεῖν τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι.
ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμβάνω μάλιστα
σώζεσθαι· εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ καὶ μὴ παρὼν
ἀδικεῖ, ὅ γε ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς
πολίταις παραδοὺς οὐκ ἀδικεῖ.

7 Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄν-

2. εἰς *om.* A — 3. ἀγνοοῦσι A — 5. τουτουί? — 5. 6. τὴν αἰτίαν *del.* R — 6. ὅθ': ὅτι k — 7. κατηγορεῖ kl — μου *om.* A — 8. ταῖς αἰτίαις el — 8. 9. ἐξεβάλλετε Mi, ἐξεβάλετε AB — 15. ὑμῶν *om.* A — 16. τοιοῦτον ae, τοιοῦτο x — 19. ἐξελέγξω $A^1$, ἐλέγξω BM — 22. ἐφάνη *om.* el — ὅθ': ὅς $A^1$ — 23. αὐτῇ *om.* A, *ante* τῇ *ponit* i — 24. ἑαυτοῦ ἀδικεῖν el, *cf.* III 214, *om.* ἑαυτοῦ gm, ἀδικεῖν ἑαυτοῦ x — 27. σώζεσθαι $A^1$, σωθήσεσθαι BM — 28. ὅ γε $A^1$, ὁ δὲ m, ὁ δὴ x.



δρες Ἀθηναῖοι, ἐάν τι παραλείπω, ἐπερωτᾶν με καὶ δη-
λοῦν ὅ τι ἂν ποθῆτε ἀκοῦσαι, μηδὲν προκατεγνωκότας ἀλλ'
ἴσῃ τῇ εὐνοίᾳ ἀκούοντας. ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον
ἄρξασθαι διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. σκέψασθε δ'
ἂν ὑμῖν εἰκός τι πρᾶγμα δόξω πάσχειν. εἰμὶ μὲν γὰρ ὁ 8
κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος, τῆς δὲ κατηγορίας
τὴν πλείστην πεποίηται Φιλοκράτους καὶ Φρύνωνος καὶ
τῶν ἄλλων συμπρέσβεων καὶ Φιλίππου καὶ τῆς εἰρήνης καὶ
τῶν Εὐβούλου πολιτευμάτων, ἐν ἅπασι δὲ τούτοις ἐγὼ
τέταγμαι. μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς
πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται· διατετέλεκέ
γ' εἰς ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ
μόνον λοιδορούμενος ἀλλὰ καὶ τοῖς ἄλλοις. ὃν δ' οὕτως 9
ἀτιμάζει, πάλιν ἐκ μεταβολῆς, ὅπου ἂν τύχῃ, ὥσπερ Ἀλ-
κιβιάδην ἢ Θεμιστοκλέα κρίνων, [οἳ πλεῖστον τῶν Ἑλλήνων
δόξῃ διήνεγκαν] ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι
πόλεις, ἀπηλλοτριωκέναι δ' ὑμῶν τὸν ἐπὶ Θρᾴκης τόπον,
ἐκβεβληκέναι δὲ τῆς ἀρχῆς Κερσοβλέπτην, ἄνδρα φίλον
καὶ σύμμαχον τῆς πόλεως. ἐνεχείρησε δ' ἀπεικάζειν με 10
Διονυσίῳ τῷ Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ
κραυγῆς πολλῆς παρεκελεύσαθ' ὑμῖν φυλάξασθαι, καὶ
τὸ τῆς ἱερείας ἐνύπνιον [τῆς ἐν Σικελίᾳ] διηγήσατο.
οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας ἐφθόνησέ μου ταῖς
διαβολαῖς, τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων οὐ
τοῖς ἐμοῖς λόγοις ἀλλὰ τοῖς ὅπλοις τοῖς Φιλίππου.
πρὸς δὴ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου χα- 11

1. Ἀθηναῖοι *add.* A — παραλείπω eilg, παραλίπω x, *add.* C καὶ μὴ μνησθῶ, *unus* e μὴ μνησθῶ καὶ παραλείπω, *del.* W — 2. ὅτι ἂν Steph., ὃ ἂν ikl, ὃ ἐὰν e, ὅτι ἐὰν BM, *fort.* ὧν ἂν — ποθῆτε amf[1], ποθῆτέ μου x — προκατεγν. ὡς ἀδικῶ C, *em.* H — προκατεγνωκότες .. ἀκούοντες $A^1$ — 5. ἐὰν e — δόξω πάσχειν $A^1$, πάσχειν δόξω BM — 12. γ' W, δὲ $A^1$, γὰρ BM — ὑμᾶς ag — ψευδεῖς *om.* g — 13. οὗτος ai — 14. ὅπου ἂν τύχῃ Schol. Bkk., ὅπου τύχοι A, ὅπου τύχῃ x — 15. οἳ πλεῖστον .. διήνεγκαν *del.* D — 17. ὑμῶν $A^1$, ἀφ' ὑμῶν BM — 18. δὲ τῆς A, δὲ καὶ τῆς BM — τὸν κερσοβ. $A^2$ — 18. 19. φίλον καί, *deinceps* τῆς πόλεως *om.* ikl — 19. *fort.* τῇ πόλει *ut* III 61 — 20. τῷ Bi, τῷ γενομένῳ AM — 21. πολλῆς *om.* A — διεκελεύσαθ' $A^2$ — *ante* φυλάξασθαι *add.* BM τὸ θηρίον, *om.* A, *del.* Bkk. — 25. *tertium* τοῖς *om.* A — 26. δὴ $A^2$, δὲ x — τἀνθρώπου Markl.

λεπὸν καὶ διαμνημονεῦσαι καθ᾽ ἕκαστα καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. ὅθεν δ᾽ ἡγοῦμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων καὶ [τῆς αἱρέσεως] τῆς πρεσβείας· οὕτω γὰρ μάλιστα καὶ μεμνήσομαι [καὶ δυνήσομαι εἰπεῖν], καὶ ὑμεῖς μαθήσεσθε.

12 Ἅπαντας γὰρ ἂν ὑμᾶς οἶμαι τοῦτό γε αὐτὸ μνημονεύειν, ὅθ᾽ οἱ πρέσβεις οἱ παρὰ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ εἰρήνην ἄγειν. οὐ πολλῷ δ᾽ ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος ἥλω ὑπὸ λῃστῶν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς, ὡς αὐτὸς ᾐτιᾶτο· ἐπειδὴ δ᾽ ἐπανῆλθε λυτρωθεὶς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὑτῷ πρὸς Φίλιππον ἑλέσθαι, ἵν᾽ εἴ πως δύναιτο ἀπολάβοι τὰ λύτρα. πεισθέντες δ᾽ ὑμεῖς προσείλεσθ᾽ αὐτῷ Κτησιφῶντα
13 πρεσβευτήν. ἐπειδὴ δὲ ἐπανῆκε ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη, καὶ πρὸς τούτοις ὅτι φαίη Φίλιππος ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ

1. διαμνημονεῦσαι W, τὰ λεχθέντα δια (om. A) μνημονεῦσαι $A^1$, διαμνημονεῦσαι τὰ λεχθέντα BM — 2. κινδύνων el — ὅθεν $A^1$, ᾗ BM — 2. 3. ἡγοῦμαι $A^1$B, οἶμαι M — 3. τέ μοι el — 5. καὶ περὶ τῆς A — 6. γὰρ $A^1$, γὰρ ἂν BM, ἂν ex versu sequenti ortum esse iamdudum viderat D — εἰπεῖν δυνήσομαι am — 7. μαθ.: μεμνήσεσθε k — 8. ἂν om. ikl — οἶμαι sed ante ὑμᾶς ik, om. el, οἴομαι BM — γε: τε gm — 9. ὅθ᾽: ὅτι $A^1$ — οἱ παρὰ (περὶ eilgm) τῶν B eil, οἱ τῶν x — ἐπειδὴ om. A — 10. 11. διειλέχθησαν ikM — 11. εἰπόντες A, εἶπόν τε gmi, fort. εἰπόντες natum ex εἶπον ὡς — αὐτὸς κελεύσειεν g, αὐτοὺς κελεύσοι A — 12. ἐπαγγεῖλαι A — 13. εἰρήνην Baiter, τὴν εἰρήνην C — 14. ἥλω A, ἑάλω BM — 15. ὀλυμπικαῖς kl — ἐπανῆλθε W: add. δεῦρο BM, πάλιν δεῦρο A, δεῦρο πάλιν i — 16. αὐτῷ Mam, ἑαυτῷ i (προς), ἑαυτῷ καὶ A — 17. ἀπολάβῃ e, ἀπολάβῃ (οι) i — 18. προείλεσθε B, εἵλεσθε i, εἵλεσθε A, cf. Herm. et Stall. Plat. Legg. 759 e — 19. ἐπανῆκε: add. δεῦρο C, del. W, cf. § 16, ἐπανῆλθε B.



δήμου σφόδρα ἀποδεξαμένου καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντειπόντος δ᾽ οὐδενὸς, ἐνταῦθα δὴ δίδωσι ψήφισμα Φιλοκράτης ὁ Ἁγνούσιος, καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης. πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ᾽ ἐκωλύετο ὑπό τινων, οἷς ἦν τοῦτ᾽ ἐπιμελὲς, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν. γράφονται γὰρ 14
οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν ἐπιγραψάμενοι, καὶ τίμημα ἑκατὸν τάλαντα. καὶ μετὰ ταῦτ᾽ εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον, ἀρρώστως δ᾽ ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν ἑαυτῷ συνήγορον τὸν Δημοσθένην, ἀλλ᾽ οὐκ ἐμέ. παρελθὼν δ᾽ ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν ἀπολογούμενος· καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης, ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει. καὶ ταῦθ᾽ ὑμεῖς ἅπαντες ἴστε. ὑπὸ δὲ τοὺς 15
αὐτοὺς καιροὺς Ὄλυνθος ἥλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν, ὧν ἦν Ἰατροκλῆς ὁ Ἐργοχάρους ἀδελφὸς καὶ Εὔκρατος ὁ Στρομβίχου υἱός. ὑπὲρ δὴ τούτων ἱκετηρίαν θέντες οἱ οἰκεῖοι ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ᾽ αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ᾽ οὐκ Αἰσχίνης. καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης. ὡς δ᾽ ἐπανήκων ἀπὸ τῆς πρεσβείας ὁ Ἀριστό- 16
δημος διά τινας ἀσχολίας οὐ προσῄει πρὸς τὴν βουλὴν, ἀλλ᾽ ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας

1. σφόδρα ἐπαινέσαντος eil — 2. ἀντειπόντος $A^1$, ἀντιστάντος BM — δὴ $A^1$, ἤδη BM — 3. Ἁγνούσιος Bremi. Ἀγν. C — καὶ om. el — 4. φιλίππῳ δεῦρο $A^1$ag, δεῦρο φιλ. x, cf. III 62 — 4. 5. κήρυκα Bkk., κήρυκας C — 7. γὰρ A, δ᾽ x — 9. τίμημα ἑκατὸν A, τίμημα ἐπέθηκαν ἑκατὸν x — 10. ἡ om. e — 11. ἑαυτῷ e, αὑτῷ x — 13. post ἡμέραν add. ὅλην M ami — 14. ἀποφεύγει κεφάλαιον, quo nescio an asyndeton indicatum fuerit ut III 62 — 18. κατελήφθησαν $A^1$a — Στρατοκλῆς BM — 18. 19. ἑρμοχάρους e, ἐρχογάνους m — 19. στροβίχου g, στρομμίχου m — 20. δὴ ek, δὲ x — ἱκετηρίαν a, ἱκετηρίας x — θέντες BM, θέντες ἐν τῷ δήμῳ $A^1$ — 24. φιλίαν d(aei)², cf. I 171 — 25. ἐπανῆκεν eigl, ἐπανήκων: add. δεῦρο $A^1$ — ὁ om. A — 27. ἐκ: ἀπὸ $A^1$, cf. I 172.

ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, ἐνταῦθ' ἠγανάκτουν
πολλοὶ ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστό-
δημος, τοὺς αὐτοὺς λόγους ἀκούοντες τοῦ Ἰατροκλέους
17 περὶ τοῦ Φιλίππου. τελευταῖον δ' εἰσελθὼν Δημοκρά-
της ὁ Ἀφιδναῖος ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν
Ἀριστόδημον· εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης ὁ
ἐμὸς κατήγορος. παρελθὼν δ' ὁ Ἀριστόδημος πολλήν
τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν,
καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει
γενέσθαι. καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ
καὶ ἐν τῷ δήμῳ. κἀνταῦθ' οὐδὲν ἀντεῖπε Δημοσθένης,
18 ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψε. ῥηθέν-
των δὲ τούτων ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης ἑλέσθαι
πρέσβεις πρὸς Φίλιππον, ἄνδρας δέκα, οἵτινες διαλέ-
ξονται Φιλίππῳ περὶ τῆς εἰρήνης καὶ τῶν κοινῇ συμ-
φερόντων Ἀθηναίοις καὶ Φιλίππῳ. χειροτονουμένων δὲ
τῶν δέκα πρέσβεων ἐγὼ μὲν προεβλήθην ὑπὸ Ναυσι-
κλέους, Δημοσθένης δ' ὑπ' αὐτοῦ Φιλοκράτους, ὁ νυνὶ
19 Φιλοκράτους κατηγορῶν. οὕτω δ' ἦν πρόθυμος εἰς τὰ
πράγματα, ὥστε ἐν τῇ βουλῇ γράφει, ἵνα ἀζήμιος ὢν
ἡμῖν ὁ Ἀριστόδημος συμπρεσβεύῃ, ἑλέσθαι πρέσβεις ἐπὶ
τὰς πόλεις, ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι,
οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας. καὶ ὅτι
ταῦτ' ἐστὶν ἀληθῆ, λαβέ μοι τὰ ψηφίσματα, καὶ τὴν
ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς
οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταί, τίς ἦν ὁ
Φιλοκράτους ἑταῖρος καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστοδήμῳ
φάσκων πείσειν δοῦναι τὸν δῆμον.

---

1. λύτρων: *add.* C γενόμενος αἰχμάλωτος, *del.* D — 4. περὶ $A^1$, παρὰ BM — εἰσελθὼν W, εἰσελθὼν εἰς τὴν βουλὴν ikl, εἰς τὴν βουλὴν εἰσελθὼν x — 7. ὁ *add.* $A^1$ — 10. μόνη ik — 12. 13. λεχθέντων $A^1$ — 13. τούτων $A^1$, τούτων ἐν τῷ δήμῳ BM — ψήφισμά τι A, *fort.* ψήφισμα *delendum* — 14. πρέσβεις A, πρέσβεις ὑμᾶς BM — 15. τῆς *add.* $A^1$ — 15. 16. συμφ. ikl, ξυμφ. x — 16. Ἀθ. καὶ Φιλ. *del.* Tayl. — 19. Φιλοκράτους *om.* A — 21. συμπρ. ὁ Ἀριστ. BM — πρεσβευτὴν B — 26. ἦν *om.* A, *cf.* III 75 — ὁ *om.* BM — 27. τοῦ φιλοκρ. $A^1$g.



## ΨΗΦΙΣΜΑΤΑ. ΕΚΜΑΡΤΥΡΙΑΙ.

Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγ- 20
μάτων ἐγένετο οὐ δι' ἐμοῦ ἀλλὰ διὰ Δημοσθένους καὶ
Φιλοκράτους· ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπού-
δασεν, οὐκ ἐμὲ πείσας ἀλλὰ τοὺς μετ' ἐμοῦ, Ἀγλαο-
κρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε,
καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ παρακελεύσασθαί με
φησὶν αὐτῷ ὅπως τὸ θηρίον κοινῇ φυλάξομεν, τὸν
Φιλοκράτην, πρᾶγμα λέγων πεπλασμένον· πῶς γὰρ ἂν
ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν
συνειπόντα μὲν Φιλοκράτει, προβληθέντα δ' εἰς τὴν
πρεσβείαν ὑπὸ Φιλοκράτους; πρὸς δὲ τούτοις οὐκ ἐν 21
τοιούτοις ἦμεν λόγοις, ἀλλ' ὅλην τὴν πορείαν ἠναγ-
καζόμεθα Δημοσθένην ὑπομένειν ἀφόρητον ὄντα καὶ
βαρὺν ἄνθρωπον· ὃς διασκοπούντων ἡμῶν ὅ τι χρὴ
λέγειν, καὶ Κίμωνος εἰπόντος ὅτι φοβοῖτο μὴ δικαιο-
λογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, πηγὰς δὴ
λόγων ἀφθόνους ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων τῶν
ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα
ἐρεῖν ἔφη ὥστε ἀπορράψειν τὸ Φιλίππου στόμα ὁλο-
σχοίνῳ ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους μὲν καταδέξα-
σθαι Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν
ἀποδοῦναι. ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν 22
ὑπερηφανίαν, ὡς τάχιστα ἥκομεν εἰς Μακεδονίαν, συνε-
τάξαμεν πρὸς ἡμᾶς αὐτούς, ὅταν προσίωμεν Φιλίππῳ,

---

1. ψηφίσματα Markl., *om.* eg, ψήφισμα x — ἐκμαρτυρίαι ad, ἐκμαρτυρίας m, μαρτυρία ikl, ἐκμαρτυρία x — 4. δὲ *om.* gm — ἡμᾶς $A^1$ — 5. 6. ἀγλαοκρέδοντα e — 7. παρακελεύσασθαι z, παρακελεύεσθαι C — 8. φυλάξωμεν $A^1$ — 9. πεπρασμένον el — 11. φιλοκράτει: *add.* A ἐν τῇ τῶν παρανόμων γραφῇ, BM ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή, *del.* W — 13. ἦμεν: οἶμαι eglm — λόγοις: *add.* C οἱ συμπρέσβεις, *del.* Bait. — 13. 14. ἠναγκαζόμεθα οἱ συμπρέσβεις kl — 14. ὑπομένειν δημοσθένην BM — ὄντα *om.* M — 15. ἡμῶν *om.* A — 16. λέγειν: *add.* C ἡμᾶς τῶν συμπρέσβεων, *del.* Taylor — 17. δὴ: δὲ el, δὲ δὴ M mg, *in a lacuna ante* δὴ — 18. ἀφθόνους d, ἔχειν ἀφθ. A, ἀφθ. ἔχειν BM — τῶν *om.* A — 20. τὸ τοῦ $A^1$ — 20. 21. ὅλῳ σχοίνῳ A, *cf.* Schol. Harp. s. v. — 21. μὲν *om.* A — 23. τούτων e — 24. εἰς: ὡς m — 24. 25. συνέταξεν e — 25. πρὸς *add.* R — ὅταν .. πρεσβυτάτους *om.* A.

τοὺς πρεσβυτάτους πρώτους λέγειν καὶ τοὺς λοιποὺς καθ᾽ ἡλικίαν· ἐτύγχανε δ᾽ ἡμῶν νεώτατος ὤν, ὡς ἔφη, Δημοσθένης. ἐπειδὴ δὲ εἰσεκλήθημεν, — καὶ τούτοις ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ κατόψεσθε τἀνθρώπου φθόνον ὑπερβάλλοντα καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ᾽ ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων, ἃς οὐδ᾽ ἂν κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο. τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος, εἰρήσεται γάρ,
23 οὐδ᾽ ἐγγενής. ἡμεῖς δὲ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι καὶ διατριβαὶ καὶ συνήθειαι μεθ᾽ ὑμῶν ἐλευθέριοι καὶ γάμοι κατὰ τοὺς νόμους καὶ κηδεσταὶ καὶ τέκνα, Ἀθήνησι μὲν ἦμεν ἄξιοι τῆς ὑμετέρας πίστεως, οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε, ἐλθόντες δ᾽ εἰς Μακεδονίαν ἐξαίφνης ἐγενόμεθα προδόται. ὁ δὲ οὐδὲν ἄκρατον ἔχων μέρος τοῦ σώματος, ὡς ὢν Ἀριστείδης, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει καὶ κα-
24 ταπτύει δωροδοκίας. ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε Δημοσθένης, ἵν᾽ ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι. ἐπαινῶ δ᾽ εἰς ὑπερβολὴν ὑμᾶς, ὦ ἄνδρες, ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε· ὥστε, ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ ὑμᾶς ἀλλ᾽ ἐμαυτὸν αἰτιάσομαι.

25 Ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος, τὰ μὲν καθ᾽ ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ᾽ ἐμοῦ καὶ τοὺς πρὸς ταῦτα Φιλίππου λόγους ἐν τῷ δήμῳ σαφῶς ἀπήγ-

2. ἡμῖν el — 5. ὄψεσθε B — τἀνθρ. Markl., ἀνθρ. C — 7. ἂν om. Magl — 10. δὴ om. A¹ — 13. ἡμῶν ag — ἐλεύθεροι A¹B — 14. ἄξιοι ἦμεν el — 16. ἐγενόμεθα ἐξαίφνης A¹ — 17. ἔχων ἄκρατον A¹ — σώματος W: add. BM οὐδ᾽ ὅθεν τὴν φωνὴν προΐεται, om. A, cf. § 88 — 17. 18. Ἀριστείδης: add. C ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν (τάξας φόρους B), del. H — 19. δὴ: δὲ A — 22. κατηγορουμένων glm — 23. πάντας ὑμᾶς BM — ἄνδρες: add. A¹ δικασταί — 25. κατηγορουμένων glm — 29. ταῦτα: add. A¹m ῥηθέντας, BM λεχθέντας, del. W — Φιλίππου W, ὑπὸ φιλίππου C.



γειλα πρὸς ἅπαντας Ἀθηναίους, νυνὶ δὲ πειράσομαι διὰ κεφαλαίων ὑμᾶς ὑπομιμνήσκειν. πρῶτον μὲν γὰρ πρὸς 26
αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντᾳ τῷ Φιλίππου πατρὶ, οὐδὲν παραλείπων ἀλλ᾽ ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου μὲν γὰρ νεωστὶ τετελευτηκότος καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδιδομένης ὑπὸ τῶν δοκούντων αὐτοῖς εἶναι φίλων, Παυ- 27
σανίου δ᾽ ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ᾽ ἰσχύοντος, πολλῶν δ᾽ αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν καὶ ἄλλ᾽ ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν ἐπ᾽ Ἀμφίπολιν Ἰφικράτην, Ἀμφιπολιτῶν αὐτῶν ἐχόντων τὴν πόλιν καὶ τὴν χώραν καρπουμένων. ἀφικο- 28
μένου δ᾽ εἰς τοὺς τόπους Ἰφικράτους μετ᾽ ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ κατασκοπῇ μᾶλλον τῶν πραγμάτων ἢ πολιορκίᾳ τῆς πόλεως, ἐνταῦθ᾽, ἔφην ἐγώ, μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ σὴ μήτηρ, καὶ ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες, Περδίκκαν μὲν τὸν σὸν ἀδελφὸν καταστήσασα εἰς τὰς χεῖρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, εἶπεν ὅτι „Ἀμύντας ὁ πατὴρ τῶν παιδίων τούτων ὅτ᾽ ἔζη υἱὸν ἐποιήσατό σε, τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο,

1. νῦν A¹ — 2. 3. πρὸς αὐτὸν om. k — 5. παραλιπὼν A¹ — 6. Ἀμύντου . . Ἰφικράτην Arist. Sp. II 485 — 7. μὲν add. Aristid. — τετελ. νεωστὶ e — 9. 10. προδεδομένης BMi — 10. αὐτῆς A¹ — 11. αὐτὸν e — 13. δὲ: τε e — 14. θέρμην A², cf. Harp. s. v. Arist. — 15. δὲ om. A — ὁμονοούντων: add. Ar. C ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, del. W — 16. ἀθηναῖοι στρατηγὸν Bek, οἱ ἀθ. στρ. i, στρ. ἀθ. x — 17. ἐπ᾽: εἰς A¹ — ἰφικρ.: φιλοκράτην e — αὐτῶν om. kl — 18. ἐχόντων: add. A¹ τότε, post χώραν ponunt BM, del. W — 19. ἰφικρ. εἰς τοὺς τόπους A¹ — 20. κατασκοπὴν k — 22. ἡ σὴ μήτηρ A, ἡ μήτηρ ἡ σὴ BM — 23. τὸν σὸν ἀδελφὸν e, τὸν ἀδ. τὸν σὸν x — 24. εἰς χεῖρας i — τοῦ ἰφ. del. — 25. τὰ alterum om. A¹g — εἰπεῖν A — 26. παιδίων A², παίδων BM.

ὥστε συμβαίνει σοι καὶ ἰδίᾳ τῶν παίδων τούτων γε-
29 γενῆσθαι ἀδελφῷ καὶ δημοσίᾳ φίλῳ ἡμῖν εἶναι.“ καὶ
μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ ὑμῶν
καὶ ὑπὲρ τῆς ἀρχῆς καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. ἀκού-
σας δὲ ταῦτα Ἰφικράτης ἐξήλασε Παυσανίαν ἐκ Μακε-
δονίας καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. καὶ μετὰ ταῦτα
εἶπον περὶ Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς
τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπρά-
ξατο, διδάσκων ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέ-
πραττε τῇ πόλει καὶ πρὸς Θηβαίους διαφερομένων
Ἀθηναίων συμμαχίαν ἐποιήσατο, καὶ πάλιν ὡς Περ-
δίκκας εἰς τὴν ἀρχὴν καταστὰς ὑπὲρ Ἀμφιπόλεως ἐπο-
30 λέμησε τῇ πόλει. καὶ τὴν ὑμετέραν ἠδικημένων ὅμως
φιλανθρωπίαν διεξῄειν, λέγων ὅτι κρατοῦντες τῷ
πολέμῳ Περδίκκαν Καλλισθένους ἡγουμένου ἀνοχὰς
πρὸς αὐτὸν ἐποιήσασθε, ἀεί τινος προσδοκῶντες τῶν
δικαίων τεύξεσθαι. καὶ τὴν διαβολὴν ταύτην ἐπειρώ-
μην διαλύειν, διδάσκων ὅτι Καλλισθένην ὁ δῆμος
ἀπέκτεινεν οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχὰς ἀλλὰ
δι᾽ ἑτέρας ἁμαρτίας. καὶ πάλιν οὐκ ὤκνουν κατ᾽ αὐτοῦ
λέγειν ἐπιτιμῶν ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν
31 πόλιν τοῦ πολέμου. καὶ πάντων ὧν εἴποιμι μάρτυρας
τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην καὶ τὰ ψηφίσματα
τοῦ δήμου καὶ τὰς Καλλισθένους ἀνοχάς. περὶ μὲν
οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας καὶ τῶν καλου-
μένων Ἐννέα ὁδῶν καὶ περὶ τῶν Θησέως παίδων, ὧν
Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώ-

---

1. *συμβαίνειν* A — *παίδων* Bek, *παιδίων* x — 2. *φίλων* dl, *φίλον* e — *ἡμῶν* e — 3. *ὑπὲρ ὑμῶν* W, *ὑπὲρ αὐτῆς καὶ ὑπὲρ ὑμῶν* A[1], *ὑπὲρ ὑμῶν καὶ ὑπὲρ αὐτῆς* BM — 5. *ἐξήλασε .. ἔσωσε* Thom. 101 — 6. *καὶ μετὰ om.* g, *μετὰ* m[1], *μετὰ δὲ* m[2] — 9. *εἶπε* gmi — 11. *ὡς: ὁ* A — 13. *ἡμετ.* eil — 15 *περδίκα* e — *ἡγουμένου* Baiter, *ἡγουμ. ἀθηναίων* A[1], *ἀθηναίων ἡγουμ.* BM — 16. 17. *τῷ δικαίῳ* e — 18. *λύειν* A[1] — 20. *ἁμαρτίας: αἰτίας* BE[2] — 21. *λέγειν* Tur.: *add.* A[1] *φιλίππου*, BM *φιλίππῳ* — *τὴν ἐκδοχὴν .. πολέμου* Thom. 160 — 22. *ὧν εἴποιμι* A, *ὧν ἂν εἴποιμι* BM — *μαρτυρίας* el — 25. *κτίσεως* D — 26. *ἐννέα ὁδῶν* Harp s. v.



ραν ταύτην, τότε μὲν ἥρμοττε λέγειν καὶ ἐρρήθη ὡς
ἐνεδέχετο ἀκριβέστατα, νυνὶ δὲ ἴσως ἀνάγκη συντέ-
μνειν τοὺς λόγους· ἃ δὲ ἦν τῶν σημείων οὐκ ἐν τοῖς
ἀρχαίοις μύθοις ἀλλ᾽ ἐφ᾽ ἡμῶν γεγενημένα, τούτων
καὶ ἐν ὑμῖν ἂν ἐπιμνησθείην. συμμαχίας γὰρ Λακε- 32
δαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης, εἷς
ὢν τούτων Ἀμύντας καὶ πέμπων σύνεδρον καὶ τῆς καθ᾽
αὑτὸν ψήφου κύριος ὢν ἐψηφίσατο Ἀμφίπολιν τὴν
Ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων Ἑλλήνων Ἀθη-
ναίοις. καὶ τούτων τὸ κοινὸν δόγμα τῶν Ἑλλήνων καὶ
τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων γραμμάτων μάρ-
τυρας παρειχόμην. ὧν δὲ Ἀμύντας ἀπέστη ὁ Φιλίππου 33
πατὴρ ἐναντίον τῶν Ἑλλήνων ἁπάντων οὐ μόνον λόγῳ
ἀλλὰ καὶ ψήφῳ, τούτων, ἔφην ἐγώ, σὲ τὸν ἐξ ἐκείνου
γεγενημένον οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι. εἰ δ᾽ ἀν-
τιποιεῖ κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν, εἰ μὲν πρὸς
ἡμᾶς πολεμήσας δοριάλωτον τὴν πόλιν ἔχεις, κυρίως
ἔχεις τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δ᾽ Ἀμφιπο-
λίτας ἀφείλου τὴν Ἀθηναίων πόλιν, οὐχὶ τἀκείνων ἔχεις
ἀλλὰ τὴν Ἀθηναίων χώραν.

Ῥηθέντων δὲ τούτων καὶ ἑτέρων λόγων ἤδη καθ- 34
ῆκεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ
πάντες προσεῖχον ὡς ὑπερβολάς τινας ἀκουσόμενοι λό-
γων· καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον, ὡς ἦν ὕστερον
ἀκούειν, καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ ἐξήγγελτο ἡ τῶν

---

1. *ἡρμόττετε* i, *ἥρμοττέ τε* Bkk — 2. *νῦν* el — 2. 3. *συντέμνειν ἀνάγκη* gm — 4. *ὑμῶν* e — 4. 5. *τούτων καὶ ἐν ὑμῖν ἂν ἐπιμνησθείην* W, *τούτων ἐπεμνήσθην* C, *τούτων ἐπιμνησθήσομαι* H. Wolf, *τούτων ἐπιμνησθῆναι* Hillebrand — 5. *συμμαχίας: εἰς συμμαχίας* kl, *συμμαχίαν add. rc. praepositione* e — 6. *συνελθόντων* A, *vulgatam vitiosam esse apparet ex τούτων* — 7. *ἐκ τούτων* el — *Ἀμύντας: add.* A[1] *ὁ πατὴρ φιλίππου*, BM *ὁ φιλίππου πατὴρ* — *συνέδριον* e — 8. 9. *τὴν Ἀθ. del.* D — 9. *συνεξαίρειν* kl — 10. *τοῦτο* agi — 12. *παρεσχόμην* B — 13. *λόγῳ* k, *τῷ λόγῳ* eil, *ἐν λόγοις* gm, *λόγοις* x, *cf.* § 62 — 15. *ἀντιποιῇ* C — 17. *δοριάλωτον τὴν πόλιν* m, *δορυάλωτον τὴν π.* agd, *τὴν π. δορυαλώτων* A[1] — *ἔχεις* H, *εἷλες* C — 19. *οὐχὶ* kl, *οὐ* x — *τἀκείνων: τὰ κείνων* e, *τὰ ἐκείνων* x — 21. *καὶ τούτων* A[1] — 23. *τινας* i, *τινας δυνάμεως* x — 25. *ἀκοῦσαι* A — *αὐτοῦ in* A *post ἐξηγγ.* — *ἐξήγγελτο* Bkk, *ἐξηγγέλετο* e, *ἐξηγγέλλετο* kl, *ἐξηγγέλθη* BM.

ἐπαγγελιῶν ὑπερβολή. οὕτω δὲ ἁπάντων διακειμένων
πρὸς τὴν ἀκρόασιν φθέγγεται τὸ θηρίον τοῦτο προοί-
μιόν τι τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν ἄνω
τῶν πραγμάτων ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη, τε-
35 λευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου. ἰδὼν δὲ αὐτὸν ὁ Φί-
λιππος ὡς διέκειτο, θαρρεῖν τε παρεκελεύετο καὶ μὴ
νομίζειν, ὥσπερ ἐν τοῖς θεάτροις. διὰ τοῦτο οἴεσθαί
τι κακὸν, ἀλλ' ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι
καὶ λέγειν ὡς προείλετο. ὁ δ' ὡς ἅπαξ ἐταράχθη καὶ
τῶν γεγραμμένων διεσφάλη, οὐδ' ἀναλαβεῖν ἔτι αὐτὸν
ἐδυνήθη, ἀλλὰ καὶ πάλιν ἐπιχειρήσας ταὐτὸν ἔπαθεν.
ὡς δ' ἦν σιωπὴ, μεταστῆναι ἡμᾶς ὁ κῆρυξ ἐκέλευσεν.

36 Ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν ἐγενόμεθα, σφόδρα
σκυθρωπάσας ὁ χρηστὸς οὑτοσὶ [Δημοσθένης] ἀπο-
λωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους. ἐκ-
πλαγέντος δὲ οὐκ ἐμοῦ μόνου ἀλλὰ καὶ τῶν συμπρέσβεων
ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων δι' ἣν ταῦτ'
εἶπεν, ἤρετό με εἰ τῶν Ἀθήνησι πραγμάτων ἐπιλέλη-
σμαι, καὶ τὸν δῆμον καταπεπονημένον καὶ σφόδρα ἐπι-
37 θυμοῦντα τῆς εἰρήνης εἰ μὴ μέμνημαι. „ἢ μέγα φρονεῖς"
ἔφη „ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυσὶν,
οὐδέποτε δὲ πληρωθησομέναις; οὕτω γὰρ ἠρέθικας Φί-
λιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ'
ἂν ἐκ πολέμου ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος."
ἀρχομένου δέ μου πρὸς ταῦτα ἀντιλέγειν ἐκάλουν ἡμᾶς
38 οἱ ὑπηρέται οἱ τοῦ Φιλίππου. ὡς δ' εἰσήλθομεν καὶ
ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων

2. 3. προοίμιόν τι τεθνηκὸς W, προοίμιόν τε τεθνηκός τι καὶ σκοτεινὸν A, προοίμιον σκοτεινὸν καὶ τεθνηκὸς B, προοίμιον σκοτεινόν τι καὶ τεθνηκὸς M, προοίμιον σκοτεινόν τε καὶ τεθνηκὸς x, cf. Tzetz. Chil. VI 196. XII 577 sq. — 5. ἐκ om. a — 6. τε om. gm — 7. οἴσεσθαι W, οἴεσθαι C, ἔσεσθαι a² — 8. κακὸν W, πεπονθέναι C, an πονηρόν? — 10. ἔτι om. BM, post αὐτὸν i — 11. ἠδυνήθη C — ἐπιχειρήσας W, ἐπιχ. λέγειν A¹, λέγειν ἐπιχ. BM — 12. ἐκέλευεν BM — 13. αὐτῶν: add. C οἱ συμπρέσβεις, i οἱ πρέσβεις, del. Tur. — σφόδρα W, σφόδρα πάνυ C, cf. Phot. Lex. 379, Hesych. s. v. σφόδρα — 14. οὗτος B — 16. μόνου a, μόνον x — 20. τῆς εἰρήνης B, εἰρήνης AM — μή: οὐ A — 21. μὲν om. A — 22. οὐδεπώποτε A — δὲ om. A — 25. δέ μου BM, δ' ἐμοῦ A — 26. ἤλθομεν BM — 27. ἐκαθιζόμεθα el.



ἐνεχείρει τι λέγειν ὁ Φίλιππος, πλείστην δὲ εἰκότως
ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους· ἴσως γὰρ
οὐδὲν τῶν ἐνόντων εἰπεῖν, ὥς γε οἶμαι, παρέλιπον· καὶ
πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε· πρὸς δὲ
Δημοσθένην τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα οὐδ'
ὑπὲρ ἑνὸς οἶμαι διελέχθη. τοῦτο δ' ἄρ' ἦν ἀγχόνη
τούτῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς 39
λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα ὃ προειρήκει
κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος ὡς ἐσομένου
πολέμου καὶ διαφορᾶς αἰτίου διέπιπτεν αὐτῷ, ἐν-
ταῦθα ἤδη καὶ παντελῶς ἐξιστάμενος αὑτοῦ καταφα-
νὴς ἦν, ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξένια δεινῶς
ἀσχημονεῖν.

Ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐξαίφνης κατὰ τὴν ὁδὸν 40
παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο.
ὅ τι μὲν οὖν ποτ' ἦν ὁ κέρκωψ ἢ τὸ καλούμενον παι-
πάλημα ἢ τὸ παλίμβολον ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ
ᾔδειν πρότερον· νυνὶ δ' ἐξηγητὴν τοῦτον λαβὼν τῆς
πάσης κακοηθείας μεμάθηκα. διαλαμβάνων γὰρ ἕκα- 41
στον ἡμῶν ἐν μέρει τῷ μὲν ἔρανον συστήσειν ἐπηγγέλ-
λετο καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν
καταστήσειν· ἐμοὶ δὲ παρακολουθῶν καὶ τὴν φύσιν μα-
καρίζων καὶ τοὺς λόγους οὓς εἶπον ἐγκωμιάζων πολὺς
ἦν ἐν τοῖς ἐπαίνοις καὶ ἐπαχθής. συνδειπνούντων δ'
ἡμῶν ἁπάντων ἐν Λαρίσῃ εἰς αὐτὸν μὲν ἔσκωπτε καὶ
τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν αὐτῷ, τὸν δὲ
Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων

3. παρέλιπε e — 4. ὠνομάζετο A¹ — 6. δ' ἄρ' ἦν e, δὲ ἦν ἄρα Bi, δὲ ἄρα ἦν x — ἀγχόνη W, ἐγχόνη καὶ λύπη C, cf. Herodian I 335 u. — 8. φίλιππος om. kl — 10. αἰτίου: ἐκ τοῦ ἐναντίου A¹m, ἀντὶ εἰρήνης ἐκ τοῦ ἐναντίου g — 12. καὶ om. A — ξενίᾳ ef, ξενίαν d — 14. οἴκαδε W, ἐκ τῆς πρεσβείας οἴκαδε A¹, οἴκαδε ἐκ τῆς πρεσβείας BM — 15. παραδ.: πρᾴως Hirschig. — 16. οὖν ποτ' ἦν Mi, οὖν τί ποτ' ἦν ek, οὖν ἦν ποθ' B, οὖν δή ποτ' ἦν z — κέρκωψ Harp. s. v. — 18. νυνὶ de, νῦν x — 19. πάσης AM, ἁπάσης B — 20. 21. ἐπηγγείλετο e — 21. στρατηγίας ek — 23. καὶ τοὺς .. ἐγκωμιάζων om. ekm — 24. ἐν add. i — 25. λαρίσῃ a¹, λαρίσσῃ x — εἰς om. ekm — 26. αὐτῷ e, ἑαυτῷ x — 27. ἔφη ante τῶν e.

42 *εἶναι δεινότατον. συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον, ὡς καὶ μνημονικῶς εἴποι πρὸς τὰ παρ᾽ ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος καὶ προσθέντος, ὡς ἐν τοσούτῳ χρόνῳ οὐ πώποθ᾽ οὕτως ἡδὺν οὐδ᾽ ἐπαφρόδιτον ἄνθρωπον*
43 *ἑωρακὼς εἴη, ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας „ταῦτα μέντοι" ἔφη „ὦ Κτησιφῶν, οὔτ᾽ ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ᾽ ἂν οὗτος" ἐμὲ δὴ λέγων „τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους ὡς ὁ Φίλιππος δεινὸς εἰπεῖν καὶ μνημονικός." ἀναισθήτως δὲ ἡμῶν ἐχόντων καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς κατέκλησεν ὑπὲρ τοῦ ταῦτ᾽ ἐρεῖν πρὸς ὑμᾶς. ἐμοῦ δὲ καὶ δέησιν ἰσχυρὰν ἐδεήθη μὴ παραλιπεῖν ἀλλ᾽ εἰπεῖν ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι.*

44 *Μέχρι μὲν οὖν τούτων οἱ συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δ᾽ ἐπὶ τοῦ βήματος παρ᾽ ὑμῖν λόγων ὑμεῖς ἀκηκόατε, ὥστε οὐκ ἐνέσται μοι ψεύδεσθαι. δέομαι δὲ ὑμῶν προσεπιπονῆσαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν. ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν καὶ τὰς περὶ Φωκέων αἰτίας σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω· ἀλλ᾽ ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ᾽ ἐκείνοις ὁμοίως παρακολουθήσετε. ἐὰν δέ μοι τῷ κινδυνεύοντι εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σῶσαί με εἰ μηδὲν ἀδικῶ δυνήσεσθε, ἱκανὰς εἰληφότες ἀφορμὰς, καὶ θεάσασθαι ἐκ τῶν ὁμολογουμένων τὰ ἀντιλεγόμενα.*

---

1. δὲ *om.* ek — 2. ὡς καὶ ag, ὡς x — 3. ὥσπερ ilm — 4. πλῆθος e — 5. χρόνῳ Herwerd., χρόνῳ καὶ βίῳ C — 8. ἔφη *om.* g, *post* κτησιφῶν e — 10. ὡς ὁ AM, ὡς ἦν agi, ὡς ἦν ὁ x — 12. βουλὴν elm — 13. κατέκλησεν d, κατέκλεισεν x — 14. δέησιν Bi, δέησίν τινα AM — 17. πρέσβεις m¹ — 18. οὗτος *om.* A — 19. παρ᾽ ἡμῶν Scaliger — 21. προσεπινοῆσαι d¹i — ἀκούοντας *post* λοιπὴν i — 26. δέ μοι i, δ᾽ ἐμοὶ x — 27. εἰ: ἣν el, ὡς i — 28. θεάσασθε k, θεάσασθε ef — τὰ A, καὶ τὰ BM, *omnis ista sententia absurda est.*



*Ὡς γὰρ δεῦρ᾽ ἤλθομεν καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφα-* 45
*λαίων τὴν πρεσβείαν ἀπηγγείλαμεν καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν συγχαίρειν τῇ πόλει, ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις καὶ τῇ πίστει ἦσαν ἄξιοι τῆς πόλεως. ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον ὡς οὐ* 46
*ψευσαιμι τὰς τῶν ἑλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας. τέλος δὲ πάντων ἔγραψεν ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. ὅτι δ᾽ οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω.*

## ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

*Ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ* 47
*δήμῳ, εἶπε παρελθὼν πρῶτος ἡμῶν Κτησιφῶν ἄλλους τέ τινας λόγους καὶ τοὺς πρὸς Δημοσθένην αὐτῷ συγκειμένους ὑμῖν ἐρεῖν, περί τε τῆς ἐντεύξεως τῆς Φιλίππου καὶ τῆς ἰδέας αὐτοῦ καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος. καὶ μετὰ τοῦτον Φιλοκράτους εἰπόντος μικρὰ καὶ Δερκύλου παρῆλθον ἐγώ. ἐπειδὴ δὲ τὴν ἄλλην διεξῆλθον* 48
*πρεσβείαν, ἀπήντησα καὶ πρὸς τὸν λόγον ὃν ἐν τοῖς συμπρέσβεσι διωμολογησάμην, εἰπὼν ὅτι καὶ μνημονικῶς καὶ δυνατῶς ὁ Φίλιππος εἴποι· καὶ τὴν δέησιν οὐκ*

---

3. 4. Δημοσθένης: *add.* C πρὸς τοὺς βουλεύοντας, i πρὸς τοὺς αὐτοὺς συμβουλευτάς, *del.* F — 5. ἐπὶ: ὑπὲρ el — 6. ἔπεμψεν A — πίστει Bremi, πίστει λέγοντες C — 8. ψεύσαιμι Herw., ψευσαίμην C, *cf.* Xen. Cyr. I 5, 13 — 9. ἔγραψεν: ἔγραψε γὰρ Af — στεφανοῦσθαι egl — 10. στεφάνῳ *om.* A *et* Bkk., *cf.* III 187 — ἑκάστου l — 11. ἐς τὸ πρυτανεῖον ἐς αὔριον e — 16. ἀπηγγέλομεν e — 17. πρῶτος ἡμῶν W, *add.* C διὰ τὴν ἡλικίαν, *unus* i διὰ τὴν ἡλικίαν πρῶτος ἡμῶν — 19. ἡμῖν BMik, *om.* el — τῆς φιλ.: τοῦ φιλ. el — 20. τόποις a — 20. 21. δεξιότητος el — 21. μικρὰ *ante* φιλοκρ. i — 22. Δερκύλου Tur, δερκύλλου C, *cf.* Arcad. 56, 23. Herod. Cathol. 164. Lobeck Pathol. 137. — 24. 25. καὶ μνημονικῶς καὶ δυνατῶς am, καὶ δυνατῶς καὶ μνημονικῶς gi, μνημονικῶς καὶ δυνατῶς kM, μνημονικὸς καὶ δυνατὸς el — 25. οὐκ *om.* e¹.

ἐπελαθόμην τὴν Δημοσθένους, ὅτι ταχθείη λέγειν, ἐάν
49 τι παραλίπωμεν ἡμεῖς, ὑπὲρ Ἀμφιπόλεως. ἐφ' ἅπασι δ'
ἡμῖν ἀνίσταται Δημοσθένης, καὶ τερατευσάμενος, ὥσπερ
εἴωθε, τῷ σχήματι καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπι-
σημαινόμενον τὸν δῆμον καὶ ἀποδεδεγμένον τοὺς παρ'
ἐμοῦ λόγους, ἀμφοτέρων ἔφη θαυμάζειν, καὶ τῶν ἀκουόν-
των καὶ τῶν πρεσβευσάντων, ὅταν παρέντες τὸν χρόνον,
οἱ μὲν τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ τὸν τοῦ συμβουλεύειν,
ἀποδιατρίβωσι τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς
οἰκείοις πράγμασιν· οὐδὲν γὰρ εἶναι ῥᾷον ἢ πρεσβείαν
50 ἀπαγγεῖλαι. „βούλομαι δ' ὑμῖν“ ἔφη „καὶ ἐπιδεῖξαι ὡς
δεῖ τὸ πρᾶγμα γενέσθαι.“ ἅμα δ' ἐκέλευεν ἀναγνωσθῆναι
τὸ ψήφισμα τοῦ δήμου· ἀναγνωσθέντος δὲ εἶπεν ὅτι
„κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν ἃ
ἐνταυθὶ γέγραπται. λαβὲ δή μοι καὶ τὴν ἐπιστολὴν ἣν
ἥκομεν παρὰ Φιλίππου φέροντες.“ ἐπειδὴ δὲ ἀνεγνώσθη,
„ἀπέχετε“ ἔφη „τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστι
51 βουλεύσασθαι.“ θορυβησάντων δ' ἐπ' αὐτῷ τῶν μὲν
ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ πλειόνων ὡς
πονηρὸς καὶ φθονερός, „καὶ σκέψασθε δέ“ ἔφη „ὡς συν-
τόμως καὶ τἆλλα πάντα ἀπαγγελῶ. ἐδόκει δεινὸς εἶναι
λέγειν Αἰσχίνῃ Φίλιππος, ἀλλ' οὐκ ἐμοί, ἀλλ' εἴ τις
αὐτοῦ τὴν τύχην περιελὼν ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ
52 τι καταδεὴς εἴη. ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς
εἶναι, ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτής,“ παρ-
ῆν δ' ἡμῖν καὶ συνεπρέσβευε. „μνημονικόν τις αὐτόν
φησιν εἶναι· καὶ γὰρ ἕτεροι. συμπιεῖν δεινὸς ἦν· Φι-
λοκράτης ὁ μεθ' ἡμῶν δεινότερος. λόγον τίς φησιν ἐμοὶ

1. τὴν δημ.: τοῦ δημ. el — 2. παραλείπωμεν g — δ': γε i, om. el — 3. ἀνίσταται W, add. el τελευταῖον, x τελευταῖος — 4. εἰώθει Bi — 5. ἀποδεδεγμένον Scaliger, ἀποδεχόμενον R, δεδεγμένον C — 8. βουλεύεσθαι i — 10. πράγμασιν οἰκείοις a — γὰρ εἶναι: παρεῖναι kl — ἢ om. Af' — 12. γενέσθαι a, γίνεσθαι x — ἐκέλευεν adm, ἐκέλευσεν x — 14. ἐξεπράττομεν AM — 15. ἐνταυθὶ F, ἐνταῦθα i, ἐνταυθοῖ x — μοι ἔφη i — 17. ἔχετε Herw. — 20. καὶ ante σκεψ. om. i — 21. πάντα om. Ad — δεινὸς Auger, μνημονικὸς δεινός τε e, μνημονικὸς δεινὸς kl, μνημονικὸς καὶ δεινὸς x — 23. περιθεὶς m — 25. 26. παρῆν δ' Af, ὃς παρῆν x — 27. συμπιεῖν ἑτέροις e, ἑτέροις συμπιεῖν (συμποιεῖν i) fgikl — 27. 28. φιλοκρ. Aaf, ἀλλὰ φιλοκρ. x.



καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως· ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ
οὗτος οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη. ταῦτα μὲν οὖν λῆρός 53
ἐστιν,“ ἔφη· „ἐγὼ δὲ ψήφισμα γράψω καὶ τῷ κήρυκι
σπείσασθαι τῷ παρὰ Φιλίππου ἥκοντι καὶ τοῖς μέλλουσι
παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις,
ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας
ποιεῖν μὴ μόνον ὑπὲρ εἰρήνης ἀλλὰ καὶ περὶ συμμαχίας,
καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαι-
νέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς
αὔριον.“ ὅτι δ' ἀληθῆ λέγω, λαβέ μοι τὰ ψηφίσματα, 54
ἵνα εἰδῆτε, ὦ ἄνδρες, καὶ τὴν ἀνωμαλίαν αὐτοῦ καὶ τὸν
φθόνον καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοι-
νωνίαν καὶ τὸ ἦθος, ὡς ἐπίβουλον καὶ ἄπιστον. κάλει
δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν
ἀνάγνωθι καὶ τὰ ψηφίσματα τὰ Δημοσθένους.

## ΨΗΦΙΣΜΑΤΑ.

Οὐ τοίνυν ταῦτα μόνον ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα 55
ἐν τῇ βουλῇ θέαν εἰς τὰ Διονύσια κατένειμε τοῖς πρέ-
σβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου, λέγε καὶ τοῦτο
τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ.

Ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν,
ἵν' εἰδῆτε, ὦ ἄνδρες, ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πό-
λεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμο-
σπόνδους μελετᾷ.

## ΜΑΡΤΥΡΙΑ.

Τὴν μὲν τοίνυν κοινωνίαν τῶν περὶ τῆς εἰρήνης 56
πράξεων οὐκ ἐμὴν καὶ Φιλοκράτους ἀλλὰ Δημοσθένους

2. ταυτὶ i — 2. 3. ἔφη λῆρός ἐστιν i — 6. ἡμέραις e — 8. ὑμᾶς k — 9. εἰς τὸ πρυτανεῖον ἐπὶ δεῖπνον i — εἰς ante αὔριον om. i — 11. ἄνδρες δικασταὶ i — 14. δὴ g — 15. τὰ δημ. ei, δημ. Mkl, τὰ τοῦ δημ. B — 17. ταῦται μόνον el, μόνον ταῦτα x — 18. βουλῇ Aaf, βουλῇ εἶπε x — κατένειμε Aa²f, κατανεῖμαι x — 19. καὶ om. l — 22. δὴ: δὲ gl — πρέσβεων el — 23. ἄνδρες W, ἄνδρες Ἀθηναῖοι i, Ἀθηναῖοι x — 27. τῶν: τὴν l.

καὶ Φιλοκράτους εὑρίσκετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν οἶμαι παρασχέσθαι· τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστε μοι μάρτυρες, τῶν δ' ἐν Μακεδονίᾳ ῥηθέντων καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην. τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς
57 δημηγορίας ἣν εἶπον ἐγὼ περὶ τῆς εἰρήνης. πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς ὑμᾶς οἱ Ἕλληνες μεταπεμφθέντας ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, Φιλίππῳ, καὶ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη συμφέρον, μετέχοιεν. σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν καὶ δεινὴν ἀναισχυντίαν
58 τἀνθρώπου. τῶν γὰρ πρέσβεων, οὓς ἐξεπέμψατε εἰς τὴν Ἑλλάδα ἔτι τοῦ πολέμου πρὸς Φίλιππον ὑμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως, ὅτε ἐξεπέμφθησαν, καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς δημοσίοις ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματα αὐτῶν ἐστιν οὐκ ἐν Μακεδονίᾳ ἀλλ' Ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει· οὗτος δὲ ἐφεστάναι τὰς παρὰ τῶν Ἑλλήνων φησὶ πρεσβείας.
59 παρελθὼν τοίνυν, Δημόσθενες, ἐπὶ τὸ βῆμα τοῦτο ἐν τῷ ἐμῷ λόγῳ εἰπὲ πόλεως ἧστινος βούλει τῶν Ἑλληνίδων τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φῂς τοὺς πρέσβεις· καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι,

---

1. εὑρίσκετε A[1]Ma, εὑρήσετε x — 2. οἶμαι ae, οἴομαι x? — παρασχέσθαι AM, παρεσχῆσθαι B — 7. ἀπὸ: ὑπὲρ Af — 8. ἣν: ἧς gm — ἐγὼ add. B, i post εἰρήνης — 12. ὑμᾶς A[1]d, ἡμᾶς B — οἱ ἕλληνες ante πρὸς i — μεταπεμφθέντας e, μεταπεμφθέντες x, cf. Dem. XIX 16 — 13. Φιλίππῳ: add. C μετὰ Ἀθηναίων, del. W — 14. δοκεῖ A[1], δοκοίη post συμφέρον g, cf. Thom. 328 — σύμφορον Mkl Thom. — 15. μεγάλην (ου supra) a, μεγάλην gim — 16. τἀνθρώπου Markl., ἀνθρώπου C — ἐξεπέμψασθε e, ἐξεπέμψατο k — 17. ὑμῖν d, ἡμῖν x — 17. 18. ἑστηκότος e — 21. ἐν Ἀθήναις A — 23. ἐφεστάναι: ἀπεστάλθαι gim — παρὰ: ἀπὸ B — φησὶ post δὲ Bi — 25. τῶν πόλεων AM — ἧστινος: εἴ τινος e — τῶν ἑλληνίδων AM, ἑλληνίδος B, cf. § 115.



καὶ τοὺς Ἀθηναίων κάλει πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας. κἂν παρεῖναι καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο, μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους καὶ τὰ ψηφίσματα παράσχῃ ἐν ᾧ σὺ φῂς ὄντα χρόνῳ, καταβαίνω καὶ θανάτου τιμῶμαι.

Ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα τί λέγει, 60
ἐν ᾧ διαρρήδην γέγραπται, ἐπειδὴ βουλεύεται ὁ δῆμος ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις οὔπω πάρεισιν, οὓς ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων, δεδόχθαι τοῖς συμμάχοις, ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τὸν νόμον, ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης Ἀθηναίους· ὅ τι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν δόγμα τῶν συμμάχων. ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα.

## ΔΟΓΜΑ ΣΥΝΕΔΡΩΝ.

Παρανάγνωθι δή μοι καὶ τὸ Δημοσθένους ψήφισμα, 61
ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει καὶ τὴν ἐν Διονύσου ἐκκλησίαν προγράψαι δύο ἐκκλησίας, τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἐνάτῃ ἐπὶ δέκα, ὁρίζων τὸν χρόνον καὶ προϋφαιρῶν τὰς ἐκκλησίας πρὶν ἐπιδημῆσαι τοὺς παρὰ τῶν Ἑλλήνων πρέσβεις. καὶ τὸ μὲν τῶν συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν

---

1. ἐξέπεμψεν del — 3. ἐποιεῖτο τὴν εἰρήνην el — 5. παράσχῃ A, ἂν παράσχῃ BM — ἐν om. e et qui ὡς pro ᾧ habent fkl — ὄντ' ἄχρονον kl — 6. θανάτῳ kl — 7. δὴ om. B (add. a[2]) — 10. ὁ δῆμος ἐξέπεμψεν el, ἐξέπεμψεν ὁ δῆμος x, em. W — τὴν om. g — 10. 11. παρακαλοῦντας Mikl., παρακαλοῦντες e, παρακαλῶν a, παρακαλεῖν gm, prorsus diversa locorum ratio est III 58. 64. 65 — 12. δεδόχθω g — 14. προσγράψαι e — 15. κατὰ τὸν νόμον alf, κατὰ νόμον e, κατὰ τοὺς νόμους x — συμβουλεύσασθαι gm — 16. ὅτι δ' ἂν . . . συμμάχων om. el — βουλεύηται k — 20. τὸ δημ. dikl, τὸ τοῦ δημ. x — 22. διονύσῳ gm — προσγράψαι el — 23. ἐννάτῃ dea[1] — 25. ἐπιτιμῆσαι el — παρὰ i, ἀπὸ x — 26. ᾧ om. A.

καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης δὲ καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

62 Τῶν μὲν ψηφισμάτων ἀμφοτέρων ἠκούσατε ὑφ᾽ ὧν ἐξελέγχεται Δημοσθένης τὰς ἀποδημούσας πρεσβείας φάσκων ἐπιδημεῖν, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα. οἱ μὲν γὰρ ἀπεφήναντο ἀναμεῖναι τὴν πόλιν τὰς Ἑλληνικὰς πρεσβείας, Δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα καὶ τάχιστα μετατιθέμενος, ἀλλ᾽ ἔργῳ καὶ ψηφίσματι, προστάξας ἤδη βουλεύεσθαι.

63 Εἴρηκε δὲ ὡς ἐν μὲν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκράτους ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων, τῇ δ᾽ ὑστεραίᾳ πάλιν εἷς τῶν συναγορευόντων τῷ Φιλοκράτει τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων λέγουσι τρόπαια,
64 μηδὲ τοῖς Ἕλλησι βοηθεῖν. ὅτι δ᾽ οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα γενέσθαι, μίαν μὲν αὐτὸς καθ᾽ αὑτοῦ μαρτυρίαν μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι καὶ ὑμεῖς ἀναμιμνησκόμενοι, τρίτην δὲ ἡ τῆς αἰτίας ἀπιθανότης, τετάρτην δὲ ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης καὶ ἀνεκοινοῦτο εἰ δῷ τῷ γραμματεῖ, οὐχ
65 ὑπεναντίον ἀλλὰ ταὐτὸν γεγραφὼς Φιλοκράτει. καί μοι

1. τῆς om. Mek — ἡμᾶς k — 2. λέγε δὲ Bi — 5. ἠκούσατε W, ἠκούσατε ὦ ἀθηναῖοι B, ὦ ἀθηναῖοι ἠκούσατε AM, ἀκηκόατε ὦ ἀθηναῖοι i — 7. φάσκων ἐπιδημεῖν e, ἐπιδημεῖν φάσκων x — 8. πεποιηκὼς ποιεῖ k — δόγμα om. e — 9. τῇ πόλει e — 10. οὐ: οὐδὲ kl — μόνῳ glm — ἐκώλυσε F — 12. βεβουλεῦσθαι Bi — 13. μὲν add. Bkk. — 15. ἐκεῖνος εἰσηγεῖτο A — 16. πάλιν Co, πάλιν ἡμέρᾳ C — 16. 17. εἷς τῶν συναγορευόντων W, ὡς συναγορεύοιμι C, ὡς συναγορεύων H — 18. μὴ προσέχειν om. A — 19. καὶ τὰ: κατὰ el — 22. ἑαυτοῦ e — αὐτοῦ: add. Bde δημοσθένης, post μαρτυρίαν fkl, ante καθ᾽ i — 27. ὑπεναντίαν el.



λαβὲ τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους, ἐν ᾧ φαίνεται γεγραφὼς ἐν τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, ἐν τῇ δ᾽ ὑστέρᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι, ἐν ᾗ μέ φησιν αὐτὸς Φιλοκράτει συνειπεῖν.

ΨΗΦΙΣΜΑ.

Οὐκοῦν τὰ μὲν ψηφίσματα ὡς ἐξ ἀρχῆς ἐγράφη, 66
μένει, οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ᾽ ἡμέραν καιροὺς λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος διαιρετήν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν· λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν προέδρων κωλυόντων οὐκ ἐνῆν εἰπεῖν. τί δὲ καὶ βουλόμενος, εἴπερ ταὐτὰ Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ᾽ οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ᾽ ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν.

Κάλει δέ μοι καὶ Ἀμύντορα τὸν Ἐρχιέα, καὶ τὴν 67
μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος ἐν τῇ ὑστέρᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλη- 68
σίᾳ Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ᾽ ᾧ ἐπεγέγραπτο τὸ Δημοσθένους

2 et 3. ἐν utroque loco add. F — 3. ὑστέρᾳ Bkk. Vat. Barb., ὑστεραίᾳ C — 4. προθεῖναι el — 5. ᾗ Bkk., ᾧ C — φιλοκράτης gm — 8. οἱ δὲ .. λέγονται Thom. 215 — 9. δημηγορίαν: κατηγορίαν di, cf. III 220 — 10. τὸ δὲ ψήφισμα i — 11. ὑστέραν om. l — 12. τῶν am, τῶν δ᾽ ἂν gi, τῶν δὲ AM — 13. καὶ om. el — 19. τὸν, deinceps spiritum asperum add. F, ἀρχιέα e, ἐρχιέα x — 21. μαρτυρία μαρτυρεῖ k — 22. ἐβούλετο el — δῆμος: add. C περὶ τῆς συμμαχίας τῆς πρὸς φίλιππον κατὰ τὸ (τὸ τοῦ e) δημοσθένους ψήφισμα, del. W — ὑστέρᾳ Bkk., ὑστεραίᾳ C — τῶν: αὖ τῶν e, αὐτῶν l — δυεῖν Bkf, δύο i — 23. ἐνῆν g — 26. ἑαυτοῦ A — τὸ add. Markl.

ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ εἰ δῷ ἐπιψηφίσαι τοῖς προέδροις, καὶ εἶναι ἐφ᾽ οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι ἐπὶ τοῖς αὐτοῖς ἐφ᾽ οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι Ἀμύντορα τὸν Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ δευρὶ παρεῖναι.

## ΜΑΡΤΥΡΙΑ.

69 Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες· σκοπεῖτε
δή, πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι
ἢ τοὐναντίον αὐτὸς αὑτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. ἐπειδὴ
δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει καὶ τοὺς εἰρημένους
λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ᾽ ἂν ἀποδραίην οὔτ᾽
ἂν τῶν τότ᾽ εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ᾽ αἰσχύνομαι
70 ἐπ᾽ αὐτοῖς, ἀλλὰ καὶ φιλοτιμοῦμαι. βούλομαι δ᾽ ὑμᾶς
καὶ τοὺς καιροὺς ὑπομνῆσαι, ἐν οἷς ἐβουλεύεσθε. τὴν
μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπό-
λεως, συνέβαινε δ᾽ ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ
ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβε-
βληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος καὶ κατέ-
στησεν εἰς τὸ συνέδριον· προῄρημαι γὰρ παρρησιάσα-
σθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σῴζεσθαι·
ἐὰν δὲ ἄλλως πως γιγνώσκητε, καταχρήσασθέ μοι· οὐ
71 γὰρ ἂν ὑποστειλαίμην· ἑκατὸν δὲ καὶ πεντήκοντα τριή-
ρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι, καὶ
ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς Χάρητος οἱ κατή-
γοροι δεικνύουσι, χίλια δὲ καὶ πεντακόσια τάλαντα οὐκ
εἰς στρατιώτας ἀλλ᾽ εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι,
Δηιάρην τε καὶ Δηίπυρον καὶ Πολυφόντην, δραπέτας
ἀνθρώπους, ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς

1. δῷ S, δῷ τῷ γραμματεῖ C, *cf.* 64 — ἐπιψηφίσαι Markl., ἐπιψηφίσασθαι C — 2. ἐφ᾽ οἷς *om.* el — 4. τὸν *add.* F *ut supra* — 5. ἀρχιέα ef, ἐρχιέα x — 7. ἄνδρες Ἀθηναῖοι i — 8. δή: δὲ el — 9. αὐτοῦ ae, ἑαυτοῦ x — 13. καὶ φιλοτιμοῦμαι AM$a^{1}$, καὶ μᾶλλον φιλοτιμοῦμαι x — 14. ἐν: ἐφ᾽ $a^{1}$ — 15. γὰρ *om.* el — 17. μὲν ἑβδομήκοντα gm — 19. προῄρημαι … σῴζεσθαι Suid. v. παρρησία. — γάρ: δὲ Suid., πρὸς ὑμᾶς *add.* Scalig. — 20. καὶ *om.* A — 21. καταχρήσασθαί e — 24. ἀεὶ *om.* B($a^{1}$) — τοῖς *om.* A — 26. εἰς *om.* $a^{1}$ — ἡγ. ἀλ. ἀνηλ. *om.* el — 27. τε: δὲ ad — πολυσφόντην el, πολυφῶντα B.



εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους,
οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ᾽ ἕκαστον ἐνιαυ-
τὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ
τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης.
ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ 72
πόλις ἡμῶν Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἀνε-
πίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας οὐκέθ᾽
ὑπὲρ Ἀμφιπόλεως πρὸς ὑμᾶς ἠγωνίζετο ἀλλ᾽ ἤδη περὶ
Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου, τῶν ὑμετέρων κτημάτων·
ἐξέλιπον δὲ Χερρόνησον ἡμῶν οἱ πολῖται, τὴν οὖσαν
ὁμολογουμένως Ἀθηναίων· πλείους δὲ ἐκκλησίας συγκλή-
τους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου
ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων· οὕτω δ᾽ ἦν σφαλερὰ 73
καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε ἠναγκάσθη γράψαι
ψήφισμα Κηφισοφῶν ὁ Παιανιεύς, εἷς τῶν φίλων καὶ
ἑταίρων τῶν Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον
τὸν ἐπὶ τῶν ὑπηρετικῶν καὶ ζητεῖν τὸν στρατηγὸν τὸν
ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που φράζειν,
ὅτι θαυμάζει ὁ δῆμος ὁ Ἀθηναίων, εἰ Φίλιππος μὲν ἐπὶ
Χερρόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ
τὸν στρατηγὸν ἴσασιν οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν,
ὅπου ἐστίν. ὅτι δ᾽ ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφί-
σματος καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην
τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις
ἀπαιτεῖτε.

4. θαλάσσης e — 6. μυονήσου dgk, *cf.* Strabo XIII 618, τῆς λῃστῶν Μυοννήσου F — ἑλλήνων m, ἐλλήνων gi — 6. 7. ἀνεπίμπλατο agk$m^{2}$, ἀνεπίπλατο x — 8. ὑμᾶς $A^{1}$, ἡμᾶς BM — 9. ὑμ. e, ἡμ. x — 10. χεῤῥόνησον Mk, χεῤῥόννησον x — καὶ τὴν el, *nomen latere videtur* — 11. ὡμολογημένως fk, ὡμολογημένους a, ὡμολογημένην e, *cf.* Baiter *ad Isocr. Paneg.* § 33. — 13. ἢ el — 15. ψηφίσματα gi — 15. 16. εἰς τὸν φίλον καὶ τὸν ἑταῖρον A — 16. τῶν χάρητος Bfi, τὸν χάρητος k, τῆς χάρητος l, τοῦ χάρητος x — 17. τὸν *om.* e — 18. καὶ ἣν τύχῃ A — 19. ὁ Ἀθη. W, ὁ τῶν ἀθ. AM, τῶν ἀθ. B, ἀθ. $m^{1}$i — 19. 20. ἐπὶ τὴν χερρ. a — 24. πολέμων: πόλεων l, ὅπλων i, τοῦ πολέμου H, *del.* F, *sed idem cf.* Herod. IX 33. Fort. τῶν περὶ πόλεμον.

## ΨΗΦΙΣΜΑ.

74 Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ
περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι· ἀνιστάμενοι δὲ οἱ
συντεταγμένοι ῥήτορες περὶ μὲν τῆς σωτηρίας τῆς πό-
λεως οὐδ᾽ ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προ-
πύλαια τῆς ἀκροπόλεως ἐκέλευον ὑμᾶς καὶ τῆς ἐν Σαλα-
μῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι καὶ τῶν
75 τάφων τῶν προγόνων καὶ τῶν τροπαίων. ἐγὼ δὲ ἁπάν-
των μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι
τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν
καὶ τὴν ἄκαιρον φιλονικίαν φυλάττεσθαι, τὴν μὲν ἐν
Πλαταιαῖς πρὸς τοὺς Πέρσας πεζομαχίαν καὶ τοὺς ἀγῶ-
νας τοὺς περὶ Σαλαμῖνα καὶ τὴν ἐν Μαραθῶνι μάχην
καὶ τὴν ἐπ᾽ Ἀρτεμισίῳ ναυμαχίαν καὶ τὴν Τολμίδου ζη-
λοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἔχων ἐπιλέκτους
Ἀθηναίων διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης ἀδεῶς
76 διεξῄει, τὴν δ᾽ εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, ἣν
ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες τῶν πολεμίων ἐμ-
βεβληκότων εἰς τὴν χώραν ἡμῶν καὶ Δεκελείας ἐπιτε-
τειχισμένης, καὶ τὴν τελευταίαν ἀβουλίαν ὅθ᾽ ἡττημένοι
τῷ πολέμῳ, προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰ-
ρήνην ἄγειν ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον
καὶ Σκῦρον καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους,
τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο
οὐ δυνάμενοι, Κλεοφῶν δὲ ὁ λυροποιός, ὃν πολλοὶ δεδε-
μένον ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πο-
λίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀπο-
κόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις τῆς εἰρήνης
77 μνησθήσεται· τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προή-

2. ἐγίνοντο i — 5. οὐδ᾽ Ad, οὐδὲν B — 6. ὑμᾶς i, ἡμᾶς x — 8. τάφων προγ. A — 11. φιλονεικίαν C — 14. ἀρτεμισίου B — 15. ἐπιλέκτους ἔχων BMk — 17. ἐς l — ἣν: λέγων ἣν A — 20. τὴν *om.* e — ἀβουλίαν: *add.* C φυλάξασθαι, *del.* Baiter — 21. προκαλουμένων τε B, καὶ προκ. i — 24. ἔθελον de — 24. 25. οὐ προῃροῦντο δυνάμενοι A — 25. λυροποιός, *cf.* I 146 — πολλὰ e — 28. τῆς εἰρήνης Bi, εἰρήνης AM.



γαγον, ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι ἀποστάν-
τας πάντων καὶ τὰ τείχη καθελόντας καὶ παραδεξαμέ-
νους φρουρὰν καὶ ἁρμοστὴν καὶ τῆς δημοκρατίας τοῖς
τριάκοντα ἀφεμένους, οἳ χιλίους καὶ πεντακοσίους τῶν
πολιτῶν ἀκρίτους ἀπέκτειναν. τὴν μὲν τοιαύτην ἀβου-
λίαν ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι, τὰ δ᾽ ὀλίγῳ
πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλο-
τρίων ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυν-
θανόμην. Ἀτρόμητος γὰρ ὁ πατὴρ ὁ ἡμέτερος, ὃν σὺ 78
λοιδορεῖς οὔτ᾽ εἰδὼς οὔτ᾽ ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας
ὅστις ἦν, καὶ ταῦτα, ὦ Δημόσθενες, ἐκ τῶν νομάδων
Σκυθῶν τὸ πρὸς μητρὸς ὤν, ἔφυγε μὲν ἐπὶ τῶν τριά-
κοντα, συγκατήγαγε δὲ τὸν δῆμον· καὶ ὁ τῆς μητρὸς
τῆς ἡμετέρας ἀδελφὸς, θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ
Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς μετὰ Δημαινέτου τοῦ Βου-
ζύγου συγκατεναυμάχησε Χίλωνα τὸν Λακεδαιμονίων
ναύαρχον· ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως
ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν.
Ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκα- 79
δίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ αὐτομολῆσαί με φῂς
αὐτὸς ὢν ἀνδραποδώδης καὶ μόνον οὐκ ἐστιγμένος [αὐτό-
μολος]. ἐγὼ δ᾽ ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ᾽ ὅσον
ἦν δυνατὸς, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φί-
λιππον· οὐδενὸς δ᾽ ἀνθρώπων ἐπικουροῦντος τῇ πόλει,
ἀλλὰ τῶν μὲν περιορώντων ὅ τι συμβήσεται, τῶν
δὲ συνεπιστρατευόντων, τῶν δ᾽ ἐν τῇ πόλει ῥητόρων
χορηγὸν ταῖς καθ᾽ ἡμέραν δαπάναις τὸν πόλεμον ποιου-
μένων, ὁμολογῶ συμβουλεῦσαι διαλύσασθαι πρὸς Φίλιπ-
πον καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νῦν αἰσχρὰν

ων
2. πάντας m, πάντας g — 3. ἁρμοστὴν W, λακεδαιμόνιον ἁρμ. elm, λακεδαιμονίων ἁρμ. x — τοῖς: τοὺς Bd — 5. ἀκρίτους τῶν πολιτῶν B, *cf.* III 235 — 12. ὢν W, ὢν γένος A, γένος ἔχον i, γένος ὢν BM — 16. χείλωνα Af¹ — τὸν: τῶν dgm — 20. αὐτομολῆσαί W, μεταβεβλῆσθαί C, *cf.* III 75 — 23. δυνατὸν glm — 24. ἀνθρώπων a, ἀνθρώπου x — 25. ἀλλὰ .., πόλει *om.* A — ὅ τι: εἴ τι g — 28. συμβουλεῦσαι W, συμκουλεύσασθαι τῇ πόλει A, συμβουλεῦσαι τῷ δήμῳ BM.

νομίζεις οὐδὲ πώποθ᾿ ἁψάμενος ὅπλων, ἐγὼ δὲ ταυτην
80 εἶναι πολλῷ φημι καλλίω τοῦ πολέμου. χρὴ δὲ, ὦ ἄν-
δρες, τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν, καθ᾿
ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις,
ὧν ἡγοῦντο. καὶ γὰρ τὰς εἰκόνας ἵστατε καὶ τὰς προε-
δρίας καὶ τοὺς στεφάνους καὶ τὰς σιτήσεις δίδοτε οὐ
τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν ἀλλὰ τοῖς τὴν μάχην
νικήσασιν. εἰ δ᾿ ἔσονται τῶν πολέμων αἱ μὲν εὔθυναι
τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους
καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ
ἐθελήσει πρεσβεύειν.

81 Περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων καὶ τῶν ἄλλων,
ἃ πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. ἐγὼ
γάρ, ὦ ἄνδρες, καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν τῇ ὑστέρᾳ
πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον ὑμῖν ἀπήγγελλον, ἃ δ᾿
ἤκουσα, ὡς ἤκουσα. τίνα οὖν ἦν ἑκάτερα τούτων ἅ τε
εἶδον ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; εἶδον μὲν ἐγὼ
καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν
Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νυνὶ τοῦθ᾿
82 οὕτως ἔχει. συνέβαινε δ᾿, ὅτε τὴν προτέραν ἐπρεσβεύο-
μεν πρεσβείαν, ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι
δεῦρο, Φιλίππῳ δ᾿ ἐπὶ Θρᾴκην ἐξιέναι, πρὸς δ᾿ ἡμᾶς
ὡμολογηκέναι, ἕως ἂν περὶ τῆς εἰρήνης ὑμεῖς βουλεύ-
σησθε, μὴ ἐπιβήσεσθαι μεθ᾿ ὅπλων Χερρονήσου. ἐν
ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰ-
ρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου· ἤδη
δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ

1. νομίζεις νῦν αἰσχρὰν B, αἰσχρὰν νῦν νομίζεις i — ταύτην: αὐτὴν i — 2. φημὶ πολλῷ B — 2. 3. ἄνδρες W, ἄνδρες ἀθηναῖοι i, ἀθηναῖοι x — 5. ἵστατε a, ἱστᾶτε x — 6. τὰς σιτήσεις W, τὰς ἐν πρυτανείῳ σιτήσεις B, τὰς ἐν τῷ πρυτανείῳ σιτήσεις A[1]M, cf. III 196 — 7. τὴν μάχην: μάχην C, μάχη e — 8. τῷ πολέμῳ el — εὐθῦναι C — 11. θελήσει AM — 14. ἄνδρες W, ἀθηναῖοι C — 15. ἀπήγγελον de — 15. 16. ἃ δ᾿ ἤκουσα i, ἃ δ᾿ ἤκουον x — 16. ἦν om. ikl — 17. εἶδον μὲν: εἴδομεν fel — 18. πρέσβεις l — 19. νυνὶ e, νῦν x — 22. ὑμᾶς eil — 23. ὑμεῖς praeter e omnes ante περὶ — 25. οὖν om. B — ᾗ: ἐν ᾗ i (Scalig.) — 26. ἐγίνετο dl — 27. ὑμῶν dl.



ἀπηρκότων ἐκκλησία γίγνεται, ἐν ᾗ Δημοσθένης ὁ νυνὶ
κατηγορῶν ἐμοῦ λαγχάνει προεδρεύειν. ἐν δὲ ταύτῃ 83
τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελ-
θών, ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοίη δὲ
ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσιν καὶ
συναναγραφῆναι ἐν τοῖς ὑμετέροις συμμάχοις. ῥηθέντων
δὲ τῶν λόγων τούτων Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν
ἀναγνῶναι ψήφισμα τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο
ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμ-
μάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου. ἀναγνωσθέντος 84
δὲ τοῦ ψηφίσματος, καὶ ταῦτα οἶμαι πάντας ἂν ὑμᾶς
μνημονεύειν, ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης οὐκ
ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν οὐδὲ λύσειν τὴν πρὸς Φί-
λιππον εἰρήνην, οὐδὲ γιγνώσκειν τῶν συμμαχιῶν τοὺς
συνεφαπτομένους ὥσπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν·
ἀποδοθῆναι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν. βοών-
των δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα καλούν-
των, οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη.
ὅτι δ᾿ ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα 85
Ἀλεξίμαχον καὶ τοὺς συμπροέδρους Δημοσθένους, καὶ
τὴν μαρτυρίαν ἀνάγνωθι.

## ΜΑΡΤΥΡΙΑ.

Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθὶ Δημο-
σθένης μνησθεὶς Κερσοβλέπτου φαίνεται τῆς συμμα-
χίας ἐκκλήων αὐτόν. ὡς δ᾿ ἡ παροῦσα ἐκκλησία διε-
λύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέ-
σβεις ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ. τετόλμηκε δὲ πρὸς 86
ὑμᾶς εἰπεῖν ὁ κατήγορος, ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κρι-

1. ἀπηρηκότων m, ἀπειρηκότων eil, add. C ἐπὶ τὴν ὑστέραν πρεσβείαν, del. H — νῦν A — 4. ἀξιοῖ C — 6. συναναγραφῆναι: add. C κερσοβλέπτην, del. W — ἡμ. A — 8. ἐν om. el — ᾧ om. k — 11. δὲ om. B — ἂν add. W, cf. § 12 — 14. συμμαχιῶν a?R, συμμάχων x — 16. περὶ τούτων om. g — 18. οὗτος e — ἀκούοντος eil — αὐτοῦ post ψήφ. m, utrobique g — ἐψηφίσθη e — 20. προέδρους gm[1] — τοὺς δημ. i — 23. ἐνταυθοῖ C (ἐνταῦθα ἀρτίως i) — 25. ἐκκλείων C — 27. στρατηγείῳ dm[1].

τόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν τῶν συμμάχων ἐψηφισμένου δὲ τοῦ δήμου παρακαθημένων δὲ τῶν στρατηγῶν πόθεν τοσαύτην ῥώμην λαβών; ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας ἄν, ὦ Δημόσθενες, καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με, ὡς ἔφησθ' ἀρτίως, ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ καὶ τοὺς συνέδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε.

## ΜΑΡΤΥΡΙΑΙ.

87 Οὐκ οὖν δεινόν, ὦ ἄνδρες, εἴ τις κατ' ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ ἀλλ' ὑμετέρου, τοῦτο γὰρ προδιορθοῦμαι, τολμᾷ τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύοντος ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ πατέρες ἡμῶν ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέδειξαν τέμνοντας τὰ τόμια τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι, καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν, τἀληθῆ καὶ τὰ δίκαια ἐψηφίσθαι τῶν δικαστῶν ὅσοι τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, ἐξώλη αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι; καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ
88 ἄνδρες· εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἦ που ἀδίκου γε φυλάξαιτ' ἂν τὴν ψυχὴν ἢ τὴν οὐσίαν ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος, ἐξ ὧν αὐτοὺς ἀνῃρήκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν. ἆρ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοίητ' ἄν μοι συγγνώ-

5. ἐπέστρεψας e — 6. καὶ κραυγῆς om. A — 7. ἔφης C, cf. III 224 — 12. ἄνδρες W, ἄνδρες ἀθηναῖοι a, ἀθηναῖοι x — 13. 14. προδιορθοῦμαι el, προσδιορθ. x — 15. οὐκ om. e — 16. ὑμῶν e — ἐν: ἐπὶ A — 17. τέμνοντας ikl, τέμνοντες x — 19. ἐψηφίσθαι Scaliger, ἐψηφίσθη i, ψηφίζεσθαι x — 20. αὐτῷ Tur. — 21. ἐξώλη Af, ἐξώλητε Bd — 24. Ἀθηναῖοι C — ἡμῶν e — 26. τὴν ψυχὴν: ψυχὴν A — 28. ὦ om. a, an ὦνδρες?, ἄνδρες add. W — δότε μοι εἰπεῖν κίναιδον αὐτον Herm. Sp. II 380.



μην, εἰ κίναιδον αὐτὸν προσειπὼν καὶ μὴ καθαρεύοντα τῷ σώματι, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ Κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δείξαιμι ψεῦδος ὄν;

Κάλλιστον γὰρ οἶμαι πρᾶγμα καὶ χρησιμώτατον 89
τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίγνεται· καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε. εἴρηκε δὲ οὑτοσὶ πρὸς ὑμᾶς παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγὼ καὶ κατευημερηκὼς παρ' ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θρᾴκην ἡμᾶς ἰέναι Κερσοβλέπτου πολιορκουμένου καὶ διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα ἀλλ' ἐκαθήμην ἐν Ὠρεῷ, καὶ οἱ συμπρέ-
σβεις, προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ τῆς 90
Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ Ἱερὸν ὄρος κατείληφε Φίλιππος ἐλαφηβολιῶνος μηνὸς ἑβδόμῃ φθίνοντος· Δημοσθένης δ' ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνὸς ἕκτῃ φθίνοντος.

## ΕΠΙΣΤΟΛΗ.

Οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας 91
τοῦ μηνός, ἀλλὰ μουνυχιῶνος ἐξωρμήσαμεν. καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι· ἔστι γὰρ αὐτῆς ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους. καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα.

## ΨΗΦΙΣΜΑ.

Προσανάγνωθι δὴ καὶ τὸν χρόνον ὅστις ην.

1. 2. μὴ καθαρεύειν τὸ σῶμα .. φωνὴν προΐεται Theon. Sp. II 71, Alex. Sp. III 14 — 2. μηδ' agikl, μήθ' x — 4. ὄν: ἓν l — 14. ἠθέληκα g — Ἱερὸν: τὸ ἱερὸν g — 18—20. ἑβδόμῃ .. ἕκτῃ A. Schaefer II 230, 3, ἕκτῃ .. ἑβδόμῃ C, cf. III 73 — 20. μηνὸς: add. C εἷς ὢν τῶν πρέσβεων, del. F — 23. ἀλλὰ καὶ e — 24. αὐτῆς: αὐτοῖς d, αὐτοῦ el — 28. παρανάγνωθι ag, προσαναγν. . . . χρόνος om. m — δή: δὲ g.

## ΧΡΟΝΟΣ.

92 Ἀκούετε ὅτι μουνυχιῶνος ἐψηφίσθη τρίτη ἱστα-
μένου. ὁ δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις
ἀπώλεσε τὴν ἀρχὴν [πρὶν ἐμὲ ἀπιέναι]; ὥς φησι Χάρης
ὁ στρατηγὸς, τοῦ προτέρου μηνὸς, εἴπερ ἐλαφηβολιὼν
ἐστι μουνυχιῶνος πρότερος. ἐδυνάμην ἂν οὖν ἐγὼ σῶ-
σαι Κερσοβλέπτην, ὃς πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν ἀπω-
λώλει; ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι ἢ περὶ
τῶν ἐν Μακεδονίᾳ πραχθέντων ἢ περὶ τῶν ἐν Θεττα-
λίᾳ, ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων
93 καὶ τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ
τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις, ἐν
Ὠρεῷ δ' ἠλέεις; καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς,
πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς
ἐξ Ἀρείου πάγου οὐκ ἐπεξιὼν τῇ τοῦ τραύματος γραφῇ,
ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα, ἐπι-
τεμὼν τὴν σαυτοῦ κεφαλήν; καὶ σεμνολογεῖ ὡς οὐκ εἰ-
δόσι τούτοις ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μα-
χαιροποιοῦ;

94 Ἐπεχείρησας δ' εἰπεῖν ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφι-
κτυόνας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ
ψήφισμα τὸ μὲν ἀνέγνως τὸ δὲ ὑπερέβης. ἐγὼ γὰρ
καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἧκον
πρεσβείας πρὸς ὑμᾶς ἀρρώστως δ' ἔχων πρεσβευτὴς
ἐπὶ τοὺς Ἀμφικτυόνας αἱρεθεὶς, τὴν μὲν πρεσβείαν οὐκ
ἐξωμοσάμην ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυ-

5. στρατηγὸς: *add.* C καὶ ἡ (*om.* i) ἐπιστολή, *del.* Baiter — 6. ἂν οὖν A, οὖν ἂν fa², οὖν Bd — 7. 8. ἀπολώλει dei — 12. μὲν: μὲν ὢν am, μένων ik, μέλλων el — ἐποίει AM, *add.* C πρόεδρος ὢν, *del.* W — 13. δ' ἠλέεις: δηλέει e, δ' ἠλέει Mkl — 14. ἐπιβουλὴν A¹gm — 15. τοῦ *om.* Ad — 17. σεμνολογεῖ Co, σεμνολογεῖς C, *cf.* Dem. XIX 255, *add.* C ἡμῖν, *del.* Steph., *vitium fort. ex* σεμνολογεῖ ·ἡ· *natum* — 18. τούτοις: τοῦτο i, Schol. γρ. καὶ τοῦτο — εἶ: εἶναι l, ἦν e — 20. ἐνε-χείρησας Ml, ἐνεχείρισας e — 20. 21. ἀμφικτύονας C, *cf.* Herodian II 724 — 22. γὰρ W, δ' C — 23. καὶ μετὰ πολλῆς ... αἱρεθεὶς W, αἱρεθεὶς πρεσβ. ἐπὶ τοὺς ἀμφ. ἀρρώστως δ' ἔχων καὶ μετὰ πολλ. προθ. ἀπαγγ. ἀφ' (ἐφ' e) ἧς ἧκον πρ. πρὸς ὑμᾶς C, *unus* i αἱρεθεὶς *post* ἀμφικτυόνας *ponit* — 25. μὲν οὖν m.



νατὸς, πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων
τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν
ἰατρὸν ἔπεμψα, οὐκ ἐξομουμένους· οὐδὲ γὰρ ὁ νόμος 95
ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυ-
σθαι· ἀλλὰ τὴν ἀρρωστίαν μου δηλώσοντας· ἐπειδὴ δὲ
οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας συμ-
βάντα ἀνέστρεψαν, γενομένης ἐκκλησίας ἤδη παρὼν καὶ
δυνάμενος τῷ σώματι, προσαναγκάζοντος τοῦ δήμου
μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας
ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους ᾤμην δεῖν. καὶ ταύ- 96
της τῆς πρεσβείας οὐ κατηγόρεις μου διδόντος τὰς
εὐθύνας, ἀλλ' ἐπὶ ταύτην ἥκεις τὴν ἐπὶ τοὺς ὅρκους,
ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι. σοὶ μὲν
γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μεταφέρειν τοὺς
χρόνους, ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι τὴν ἀρχὴν
τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους.

Πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἑνδεκά- 97
του δὲ τοῦ συμπεμφθέντος ἡμῖν ὑπὸ τῶν συμμάχων,
οὐδεὶς αὐτῷ συσσιτεῖν, ὅτ' ἐξῄειμεν [ἐπὶ τὴν ὑστέραν
πρεσβείαν], ἤθελεν, οὐδὲ ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν
ἦν, εἰς ταὐτὸν πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν
τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα.
περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ οὐκ ἐγένετο μνεία· 98
οὔτε γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προσέταττεν, ἀλλ'
ἀπολαβεῖν μόνον τοὺς ὅρκους καὶ ἄλλ' ἄττα, οὔτ' ἐλ-
θόντας πράττειν οὐδὲν ἐνεδέχετο τῶν περὶ Κερσοβλέ-
πτην ἤδη γεγενημένων, ὡς ἀρτίως ἠκούσατε, οὔθ' οὗ-
τος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται καὶ κατηγορεῖν
οὐδὲν ἀληθὲς ἔχων τερατεύεται. συνηκολούθουν δ' αὐ- 99
τῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες· ἐν δὲ

5. δηλωσάντας dlm, δηλώσαντας fg — ἐπεὶ dl — 8. προαναγκ. l — 11. κατηγορεῖς gm¹i — 12. ταύτην Bkk., ταύτην τὴν πρεσβείαν C — 16. πορείας: ἀπορίας A — ὅρκους Bkk., ὅρκους καὶ τῆς πρεσβείας C — 18. ὑπὸ de, ἀπὸ x, *an* παρὰ? — 20. οὐδὲ Bkk., εἴτε m, οὔτε x — 21. ταὐτὸν m, ταὐτὸ x — 24. οὔτε Bkk., οὐδὲ C — 26. ἐδέχετο ael — τῶν *om.* ai — 27. ὡς: ὧν feil — 30. ἄνθρωποι .. φέροντες Thom. 332.

τῷ ἑτέρῳ τούτων, ὡς αὐτὸς ἔφη, τάλαντον ἐνῆν ἀργυ-
ρίου. ὥστε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς
ἀρχαίας ἐπωνυμίας αὐτοῦ· ἐν παισὶ μὲν γὰρ ὢν ἐκλή-
θη δι᾽ αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος, ἐκ
παίδων δὲ ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας
ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων Ἀργᾶς ἐκλήθη, ἀνὴρ
δὲ γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν
100 ἐπωνυμίαν, συκοφάντης. ἐπορεύετο δὲ λυσόμενος τοὺς
αἰχμαλώτους, ὡς ἔφη καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν,
εἰδὼς μὲν Φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε
Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου
φίλων ἁπάντων ὅτι καὶ τοὺς λοιπούς, ἐὰν εἰρήνη γέ-
νηται, ἀφήσει, πολλῶν δ᾽ ἠτυχηκότων τάλαντον φέ-
ρων, ἑνὸς ἀνδρός, οὐδὲ τούτου λίαν εὐπόρου, ἱκανὰ
101 λύτρα. ὡς δ᾽ ἦμεν ἐν Μακεδονίᾳ καὶ συνήλθομεν εἰς
ταὐτὸν καὶ Φίλιππον ἐκ Θρᾴκης παρόντα κατειλήφει-
μεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα, καθ᾽ ὃ ἐπρεσβεύσα-
μεν, καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς τῷ τοὺς ὅρκους
ἀπολαβεῖν συνηριθμούμεθα· ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν
μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων
τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους, οὓς ἀναγ-
102 καῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι. καὶ πρὸς τῶν θεῶν,
ὦ ἄνδρες, ὥσπερ καὶ τῆς κατηγορίας ἠκούσατε ὡς
αὐτὸς ὁ κατήγορος ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπο-
λογίας εὐτάκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον
διαμείνατε ὅνπερ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη
λόγοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ
ἄνδρες, εἶπον συνειλεγμένων τῶν πρέσβεων ὅτι μοι
δοκοῖεν τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς ἀγ-
103 νοεῖν. „τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν καὶ περὶ
τῶν ἄλλων διαλεχθῆναι καὶ περὶ τῶν αἰχμαλώτων εἰ-

6. Ἀργᾶς Hesych. Harp., ἀργὰς C — 11. δὲ καὶ fg — 12. ὅτι *om.* el — ἐάν: οὐδ᾽ ἂν e, οὐδ᾽ ἐὰν l — 13. ἀφήσειν e — ἠτυχότων l — 16. 17. κατειλήφειμεν Vat. Laur., κατειλήφαμεν C — 18. τῷ: τὸ e, *om.* l — 23. ἄνδρες W, ἄνδρες δικασταὶ i, ἀθηναῖοι x — 25. ἠκούσατε k — 28. ἄνδρες W, ἄνδρες ἀθηναῖοι δικασταί i, ἀθηναῖοι x — 29. δοκοίησαν C — 31. εἰπεῖν *abesse malit* S.



πεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις περιθεῖσα
πίστιν αὐτοῖς, ἅπαντ᾽ ἂν πραχθῆναι νομίζω· τὸ δὲ
ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι ὅσα καθ᾽ ἡμᾶς
ἐστιν, τοῦτο ἤδη ἔργον ἐστὶ πρέσβεων φρονίμων. λέγω
δὲ“ ἔφην ἐγὼ „περὶ τῆς εἰς Πύλας στρατείας, ἣν
ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. ὅτι δὲ οὐ κακῶς στοχάζο-
μαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα
δείξω. πάρεισι μὲν γὰρ Θηβαίων, ἥκουσι δὲ Λακεδαι- 104
μονίων πρέσβεις, ἀφίγμεθα δ᾽ ἡμεῖς ἔχοντες τοῦ δήμου
ψήφισμα, ἐν ᾧ γέγραπται „πράττειν δὲ τοὺς πρέσβεις
καὶ ἄλλ᾽ ὅ τι ἂν δύνωνται ἀγαθόν“. ἅπαντες δὲ οἱ
Ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν. εἰ μὲν οὖν
ἡγεῖτο ὁ δῆμος αὑτῷ καλῶς ἔχειν ἐξενεγκεῖν μετὰ παρ-
ρησίας πρὸς Φίλιππον Θηβαίων μὲν περιελεῖν τὴν
ὕβριν, Βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ᾽ ἂν ἠξίω-
σεν ἐν τῷ ψηφίσματι· νῦν δὲ αὑτοῖς μὲν κατέλιπον
τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μὴ πείθωσιν, ἐν ἡμῖν
δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. δεῖ δὴ τοὺς πρὸς τὰ 105
κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν
πρέσβεων, οὓς ἐξῆν πέμψαι ἀνθ᾽ ἡμῶν Ἀθηναίους, αὐ-
τοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν, ὧν εἷς
ὢν Ἐπαμεινώνδας, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων
ἀξίωμα, εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν Θηβαίων,
ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετε-
νεγκεῖν εἰς τὴν προστασιὰν τῆς Καδμείας.“ ταῦτα δ᾽ 106
ἐμοῦ μεταξὺ λέγοντος ἀναβοᾷ παμμέγεθες Δημοσθένης,
ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν· καὶ γὰρ πρὸς
τοῖς ἄλλοις κακοῖς βοιωτιάζει. ἦν δ᾽ οὖν παρ᾽ αὐτοῦ

1. εἰ: εἰς al — 3. ἡμᾶς i, ὑμᾶς x — 3. 4. ἡμᾶς ἐστιν: *add.* C ἢ Φίλιππον, *del.* F — 5. δέ: δὴ l — 7. σημεῖα ὑμῖν el — 11 οἱ *om.* g — 13. 14. μετὰ παρρησίας: μετὰ παρρησίας ἐν τῷ ψηφίσματι C, *em.* Markl. — 14. πρὸς: εἰπεῖν πρὸς e — 15. 16. ἠξίωσαν Meil — 17. πείθωσιν: τι πείθωσιν a, τι πεισθῶσιν gi, πείσωσιν F — 20. ἐξῆν: ἐχρῆν g — πέμψειν A, πέμπειν BM, *em.* W — 22 Ἐπαμινώνδας C *praeter* f, *add.* C στρατηγός, *del.* D — 24. 25. ὡς δεῖ .. Καδμείας Harp. 160 — 25. προστασίαν C, *cf.* Herod. Cath. 294 — 27. ὑμῶν kl — 28. βοιωτάζει e, βοιωτιάζειν gm.

τοιαυτὶ τὰ λεγόμενα· „ἄνθρωπος οὑτοσὶ ταραχῆς καὶ
τόλμης ἐστὶ μεστός· ἐγὼ δὲ ὁμολογῶ μαλακὸς εἶναι καὶ
τὰ δεινὰ πόρρωθεν δεδιέναι, ἀπαγορεύω μέντοι μὴ συν-
ταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πο-
λυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδέν, τοῦτ' ἀγαθὸν
107 ὑπολαμβάνων εἶναι. πορεύεται Φίλιππος εἰς Πύλας,
ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν
Φιλίππου κρινεῖ, ἀλλ' ὧν ἂν εἴπω μὴ δέον ἢ πράξω
τῶν μὴ προστεταγμένων." πέρας δὲ τοῦ πράγματος,
ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος
ἕκαστος ἡμῶν, ὅ τι νομίζει συμφέρειν, τοῦτο λέγειν.
ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις καὶ τὴν
μαρτυρίαν αὐτῶν λέγε.

## ΜΑΡΤΥΡΙΑ.

108 Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέγησαν μὲν εἰς
Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος καὶ τοὺς
Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῄ-
ειμεν οὐ καθ' ἡλικίαν ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ,
ὃ παρά τισιν εὐδοκίμει καὶ κόσμος εἶναι τῆς πόλεως
ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν.
φάσκων γὰρ νεώτατος εἶναι πάντων τὴν τάξιν τοῦ
πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν
τινί, αἰνιττόμενος εἰς ἐμέ, προκαταλαβόντα τὰ Φιλίπ-
109 που ὦτα τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος
δὲ τοῦ λέγειν, διαβολήν τινα ὑπειπὼν κατὰ τῶν συμ-
πρέσβεων, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν οὐδ' ὅμοιοι
ταῖς δόξαις ἥκοιμεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηρ-
γμένας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν Φιλοκρά-

1. τοιαυτί Bi, ταυτί AM — ἄνθρωπος C — οὗτος Mek — 3. δει-
νὰ: κοινὰ A — μὴ om. gm — 3. 4. συντάττειν a¹ — 4. ἀλλήλους l
— 7. 8. τῶν φιλ.: τοῦ φιλ. deil. — 8. κρίνει ek — ὧν inter versus i,
δν ἂν Vat., ὅταν Schultz, ἂν Tur. — εἴπω τι . . πράξω τι C, em. Co,
fort. τῶν μὴ δεόντων — 15. συνελέχθησαν a¹i — 17. 18. οὐ παρῄειμεν e
— 19. εὐδοκιμεῖ dek — 22. λέγειν S, λέγειν πρῶτος del, λέγειν πρῶτον
Mki, πρῶτος λέγειν B — 25. 26. κατὰ τῶν συμπρ. ὑπειπὼν g — 27.
τῆς δόξης el — ἥκομεν Bi — διεξῄει μὲν el — 28. τὴν Φιλ. W, τὴν
ἐν τῷ ψηφίσματι τοῦ (τῷ i) φιλ. C, cf. F in Act. Soc. Gr. II 41.



τους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων ἐξεῖναι γράψας
Φιλίππῳ πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμ-
πειν· δεύτερον δὲ ὑπανέγνω τὸ ψήφισμα ὃ γεγραφὼς
αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι καὶ τῇ παρὰ Φιλίπ-
που πρεσβείᾳ, τρίτον δὲ τὸ περὶ τοῦ βουλεύσασθαι
τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις. καὶ προσ- 110
έθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος
ἐπιστομίσειε τοὺς τὴν εἰρήνην ἐκκλῄοντας, οὐ τοῖς λό-
γοις ἀλλὰ τοῖς χρόνοις. ἔπειθ' ἕτερον ἐπήγετο ψή-
φισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆ-
μον, καὶ μετὰ ταῦτ' ἤδη τὸ περὶ τῆς προεδρίας τῆς εἰς
τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα.
καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν περὶ αὐτοὺς καὶ 111
προσκεφαλαίων θέσιν καὶ φυλακάς τινας καὶ ἀγρυπνίας
διὰ τοὺς φθονοῦντας καὶ βουλομένους εἰς τὴν αὑτοῦ
φιλοτιμίαν ὑβρίσαι, καὶ τά γε δὴ καταγέλαστα παντε-
λῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε
τοὺς πρέσβεις τοὺς Φιλίππου, ὡς ἐμισθώσατ' αὐτοῖς,
ὅτ' ἀπῄεσαν, ὀρικὰ ζεύγη καὶ συμπαρῄει ἐφ' ἵππου,
οὐ καταδὺς εἰς τὸ σκότος ὥσπερ ἕτεροί τινες, ἀλλὰ
φανερῶς ἐπιδεικνύμενος τὴν τῶν πραγμάτων θερα-
πείαν. ἐκεῖνα δὲ δὴ καὶ σφόδρα διωρθοῦτο· „οὐκ 112
εἶπον ὡς καλὸς εἶ· γυνὴ γὰρ τῶν ὄντων ἐστὶ κάλλι-
στον· οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς τὸν ἔπαινον
ὑπολαμβάνων τοῦτον εἶναι· οὐδ' ὡς μνημονικός, σο-
φιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγκώμια
εἶναι." ἵνα δὲ μὴ μακρολογῶ, τοιαῦτ' ἦν ἃ ἔλεγε παρ-
όντων τῶν πρέσβεων ὡς ἔπος εἰπεῖν ἐξ ἁπάσης τῆς
Ἑλλάδος, ἐφ' οἷς γέλωτες οὐχ οἱ τυχόντες ἐγένοντο.
ἐπειδὴ δέ ποτ' ἐπαύσατο καὶ σιωπὴ ἐγένετο, ἠναγκα- 113
ζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευσίαν καὶ κο-

1 δημηγορίαν A — 5. δὲ om. Agm — 8. ἐπιστομίσαι C — ἐκ-
κλείοντας C — 9. ἐπήγετο gim, ἐπῆγε x — 13. περὶ αὐτοὺς H. Wolf,
ἐπ' αὐτοὺς C, αὐτοῦ i — 15. βουλευομένους a — 16. τὰ om. m¹ —
18. τοὺς Φ.: τοῦ φ. A — ὡς: καὶ l — 19. ὀρεικὰ gm, cf. Harp. 139
— ἐφ'. ἀλλὰ om. Af — 22. δὴ Bi, ἤδη x — 25. μνημονικὸς εἶ Bi —
27. ταῦτ' e — ἔλεγες l — 28. τῆς om. l.

*λακείας αἰσχρᾶς ὑπερβολήν. καὶ μικρὰ μὲν προεῖπον ἐξ ἀνάγκης πρὸς τὴν προειρημένην κατὰ τῶν συμπρέσβεων ὑπ' αὐτοῦ διαβολήν, λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις οὐκ ἀπολογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ βίου δε-*
114 *δοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. βραχέα δ' ὑπὲρ τῶν ὅρκων εἰπὼν ἐφ' οὓς ἥκομεν ἀποληψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς διεξῄειν· ὁ γὰρ περιττὸς κἂν τοῖς λόγοις δεινὸς Δημοσθένης οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη· καὶ δὴ καὶ περὶ τῆς εἰς Πύλας στρατείας εἶπον καὶ περὶ ἱερῶν καὶ περὶ Δελφῶν καὶ περὶ Ἀμφικτυόνων, καὶ μάλιστα μὲν Φίλιππον ἠξίουν μὴ μεθ' ὅπλων ἀλλὰ μετὰ ψήφου καὶ κρίσεως τἀκεῖ καθιστάναι, εἰ δ' ἄρα μὴ δυνατὸν εἴη· τοῦτο δ' ἦν πρόδηλον, τὸ γὰρ στρατόπεδον παρῆν καὶ συνήθροιστο· εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν καὶ τοῖς περὶ τῶν πατρίων*
115 *ἐγχειροῦσι διδάσκειν προσέχειν τὸν νοῦν. ἅμα δ' ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ καὶ τὴν πρώτην γενομένην σύνοδον τῶν Ἀμφικτυόνων, καὶ τοὺς ὅρκους ἀνέγνων ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν μήδ' ὑδάτων ναματιαίων εἴρξειν μήτ' ἐν πολέμῳ μήτ' ἐν εἰρήνῃ, ἐὰν δέ τις ταῦτα παραβῇ, στρατεύσειν ἐπὶ τοῦτον καὶ τὰς πόλεις ἀναστήσειν, καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ ἢ συνειδῇ τι ἢ βουλεύσῃ τι, τιμωρήσειν καὶ χειρὶ καὶ*
116 *ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει· καὶ προσῆν τῷ ὅρκῳ ἀρὰ ἰσχυρά. τούτων δὲ ἀναγνωσθέντων ἀπεφηνάμην,*

---

1. *μικρὰ μὲν* Bkk., *μικρὸν* l, *μικρὰ* x — 2. 3. *πρέσβεων* el — 4. *οἱ ἀθ.* e — 7. *εἰπὼν* AM, *προειπὼν* B — 11. *περὶ* A, *περὶ τῶν* BM — 12. *περὶ* A, *περὶ τῶν* BM — 14. *καθεστάναι* gm — *μὴ δυνατὸν: ἀδύνατον* A — 21. *γεν. σύνοδον* e, *σύνοδ. γεν.* x — *ὅρκους* W, *ὅρκους αὐτῶν* C, *ὅρκους αὐτῷ* Bkk. — 23. *ἀμφικτυονίων* l, *ἀμφικτυόνων* ei — 24. *ναματίων* el — 25. *στρατεύσειν* kl, *στρατεύειν* x — 27. *βουλεύσῃ τι: add.* a *κατὰ τῶν ἐν ἱερῷ, κατὰ τῶν ἱερῶν* gm, *κατὰ τῶν ἐν τῷ ἱερῷ* A¹M, *del.* W — *cf.* III 109. 120.



*ὅτι ἐμοὶ δοκεῖ δίκαιον εἶναι μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν Βοιωτοῖς πόλεις. ὅτι δ' ἦσαν Ἀμφικτυονίδες καὶ ἔνορκοι, κατηριθμησάμην ἔθνη δώδεκα τὰ μετέχοντα τοῦ ἱεροῦ, Θετταλούς, Βοιωτούς, οὐ Θηβαίους μόνους, Δωριέας, Ἴωνας, Περραιβούς, Μάγνητας, Δόλοπας, Λοκρούς, Οἰταίους, Φθιώτας, Μαλιᾶς, Φωκέας. καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον γιγνόμενον, τὸ μέγιστον τῷ ἐλάττονι, τὸν ἥκοντα ἐκ Δωρίου καὶ Κυτινίου ἴσον δυνάμενον Λακεδαιμονίοις, [δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος,] πάλιν ἐκ τῶν Ἰώνων τὸν Ἐρετριᾶ καὶ Πριηνέα τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους κατὰ ταὐτά. τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης* 117
*ὁσίαν καὶ δικαίαν ἀπεφηνάμην εἶναι· συλλεγέντων δὲ τῶν Ἀμφικτυόνων εἰς τὸ ἱερὸν καὶ τυχόντων σωτηρίας καὶ ψήφου τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν ἀλλ' αὐτοὺς τοὺς χειρουργήσαντας καὶ βουλεύσαντας, τὰς δὲ πόλεις παρεχούσας εἰς κρίσιν τοὺς ἀδικήσαντας ἀζημίους εἶναι. „εἰ δ' ἐπεξελθὼν δυνάμει βεβαιώσεις τὰ Θηβαίων ἀδικήματα, παρ' ὧν μὲν βοηθεῖς οὐκ ἀπολήψει χάριν· οὐ γὰρ ἂν δύναιο αὐτοὺς τηλικαῦτα εὐεργετῆσαι ἡλίκα Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται· οὓς δ' ἐγκαταλείψεις, ἀδικήσας χρήσει ἐχθροῖς μείζοσιν, ἀλλ' οὐ φίλοις."*

*Ἵνα δὲ μὴ διατρίβω τοὺς ἐκεῖ λόγους ῥηθέντας νυνὶ* 118
*πρὸς ὑμᾶς ἀκριβῶς διεξιών, ἐν κεφαλαίῳ περὶ πάντων εἰπὼν παύσομαι. ἡ μὲν τύχη καὶ Φίλιππος ἦσαν τῶν*

---

1. *δοκοίη* i — 2. *δ'* AM, *δὴ* B — 3. *κατηριθμησάμην* AM, *καὶ ἠριθμησάμην* B — 3. 4. *τὰ .. μόνους in mrg. rc.* m — 5. *Ἴωνας Αἰνιᾶνας* Valck. *ad* Herod. VII 131, *cf.* Wessel. Diod. XVI 29 — *περρεβαίους* e — *Δόλοπας add.* Tittmann p. 40 — 6. *οἰτεοὺς* e, *τε καὶ* gm — *μαλαιεῖς* i, *μαλεεῖς* x, *Μαλιεῖς* Scalig. — *οἰταίους φωκεῖς* gm, *φωκεῖς* x — 7. *γενόμενον* de — 8. *ἐλαχίστῳ* i — 9. *κοιτινίου* B — 11. *ἐρετρία* e, *ἐρετριέα* x, *Ἐρυθραῖον* H. Wolf — *καὶ Πριηνέα om.* Af — *τοῖς Ἀθηναίοις om.* el — *τοῖς ἄλλοις* A — 13. *ὁσίαν: θείαν* i — 17. *χορηγήσαντας* el — 19. *ἐπελθὼν* fl — 21. *αὐτὸς* A¹f — 23. *ἐγκαταλήψεις* dmel, *ἐγκαταλείψας* g — *ἀδικήσας* Lobeck, *ἀδικήσεις* C, *ἐγκαταλείψας ἀδικήσεις* R — *δ' ἐχθροῖς* MA² — 25. *νυνὶ* i, *νῦν* x.

ἔργων κύριοι, ἐγὼ δὲ τῆς πρὸς ὑμᾶς εὐνοίας καὶ τῶν λόγων. παρ' ἐμοῦ μὲν οὖν ἐρρήθη τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῖν, ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς εὐχόμεθα ἀλλ' ὡς ὁ Φίλιππος ἔπραξε. πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι ἀγαθὸν δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν ὧν ἦν δυνατὸς ἐλλείπων; ἐν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν παραλείπω.

119 Εἶπε δὲ ὡς ἐψευδολόγουν φάσκων ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινάς, καὶ τοὺς Εὐβοέας ὡς ἐφόβουν προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. ὃ δὲ ποιεῖ, καταμάθετε, ὦ Ἀθηναῖοι. ἐγὼ γὰρ παρὰ Φιλίππῳ μὲν ὢν ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων ἀπήγγελλον ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον ἡγοίμην εἶναι καὶ μὴ τὴν Βοιωτίαν Θήβας. τοῦτο οὐκ ἀπαγγεῖλαι ἀλλ' ὑποσχέσθαι
120 μέ φησιν. ἔλεγον δὲ πρὸς ὑμᾶς ὅτι Κλεοχάρης ὁ Χαλκιδεὺς θαυμάζειν ἡμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν καὶ τὸ προστεταγμένον ἡμῖν, πράττειν ἀγαθὸν ὅ τι ἂν δυνώμεθα· τοὺς γὰρ μικροπολίτας, ὥσπερ αὐτούς, φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα. ταῦτα οὐ διηγῆσθαί με φησιν, ἀλλ' ἐπηγγέλθαι τὴν Εὔβοιαν παραδώσειν. ἐγὼ δὲ ὑπειλήφειν δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν ὅλων μέλλουσαν βουλεύσεσθαι μηδενὸς λόγου Ἑλληνικοῦ ἀνήκοον εἶναι.

121 Διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος ὑπ' ἐμοῦ καὶ Φιλοκράτους κωλυθείη. ἐγὼ δ' ὑμᾶς ἡδέως ἂν ἐροίμην εἴ τις

1. πρὸς: εἰς agi — 2. οὖν om. m¹gil — ἐρρέθη el — 3. ἡμῖν kl — 4. ὁ add. e — 4. 5. προμηθεὶς k — 8. ὀλίγων ἡμερῶν: δι' ὀλίγων καιρῶν A — 12. ἀπήγγειλα i — 12. 13. δεῖ γὰρ τὰς Θήβας εἶναι Βοιωτίας, οὐ τὴν Βοιωτίαν Θηβῶν Alex. Sp. III 37. — 15. μέ: μοι l — φησιν: φησὶν ὅτι πάντως ταῦτα ποιήσει φίλιππος g — ὅτι: ὅ, τε Mk — καὶ λεωχάρης l — 16 ὑμῶν gm — φαίη om. kl — καί: ὡς καὶ Bi — 18. δυναίμεθα g, add. C ἐν τῷ ψηφίσματι, del. W — 19. αὑτοὺς Tur., αὐτὸς Af¹, αὐτοὺς x — 20. διηγῆσθαι H, διήγησθαι l, διηγήσασθαι x — με: μοι m¹ — 21. δὲ om. l — 22. μέλλ. βουλεύσεσθαι W, μέλλ. βουλεύσασθαι e, μέλλ. βουλεύεσθαι BM, βουλεύεσθαι μέλλουσαν kl. — 24. διέβαλλε̃ν k, διέβαλε elg — 26. ὑμᾶς ἀδεῶς ἂν e.



πώποτε Ἀθηναίων πρεσβευτὴς ἐκπεμφθεὶς ἐφ' οἷς πεπρέσβευκε κεκώλυται πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦτα παθὼν καὶ ἀτιμασθεὶς ὑπὸ τῶν συμπρέσβεων τούτους ἔγραψεν ἐπαινέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον. Δημοσθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησι τὰ τῶν Ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐκ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς ἐπῄνει, ἀλλ' ἀπαγγείλαν- 122
τος πρὸς τὸν δῆμον ἐμοῦ τοὺς περὶ τῶν Ἀμφικτυόνων λόγους, οὐχ ὥσπερ νῦν συντέμνοντος οὐδ' ἐπειγομένου, ἀλλ' ὡς ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα, καὶ τοῦ δήμου σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλλων συμπρέσβεων εἰ τἀληθῆ καὶ ταὐτὰ ἀπαγγέλλω πρὸς Ἀθηναίους ἅπερ πρὸς Φίλιππον εἶπον, πάντων μαρτυρούντων καὶ ἐπαινούντων με τῶν συμπρέσβεων ἐπαναστὰς ἐπὶ πᾶσιν οὐκ ἔφη με, ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρόντι λέγειν, ἀλλ' ἐκεῖ διπλασίῳ ἄμεινον. καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν ἐστέ μοι μάρτυρες. καίτοι τίς ἂν αὐτῷ καλλίων καιρὸς ἐγέ- 123
νετο ἢ τότ' ἐξελέγχειν εὐθύς, εἴ τι τὴν πόλιν ἐξηπάτων; φῂς γάρ με ἐν μὲν τῇ προτέρᾳ πρεσβείᾳ λαθεῖν σαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστέρᾳ αἰσθέσθαι, ἐν ᾗ συναγορεύων μοι φαίνει. κἀκείνης μὲν ἅμα κατηγορῶν οὐ φῂς κατηγορεῖν, τῆς δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς. καίτοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας· καὶ Φίλιππος εἴ τι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης ἧπερ συνέφερεν αὐτῷ τύχοι. οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν, ἡ δ' ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίγνετο.

Τίνες οὖν ἦσαν αἱ ἀπάται; ταῦτα γὰρ τοῦ γόητος 124

1. πρεσβευτής: πρεσβεῦσαι A — Fort. ἐπρέσβευσε — 2. πρὸς τὸν δῆμον: lacuna in k — 9. λόγους: add. C καὶ βοιωτῶν, del. W — 10. ὡς om. k — 12. συμπρ.: add. A διερωτώμενος, Bd καὶ διερωτώμενος, om. f¹ — 13. καὶ πρὸς fg — 15. ἀναστὰς ei — 16. διπλασίῳ Bkk., διπλάσιον e, διπλασίως x — 17. τοῦτον m — 20. προτέρᾳ i, πρώτῃ x — ἑαυτὸν ek — 21. ἐπὶ om. Bl — ὑστέρᾳ eil, ὑστεραίᾳ x — 23. 24. κατηγορεῖν Herw. — 24. σὺ τὴν gm — 26. ἧπερ Wolf, εἴπερ C — 27. τύχῃ e — 29. ταῦτα: τὰ k.

ἀνθρώπου ἐξ ὧν εἴρηκε λογίσασθε. εἰσπλεῖν μέ φησιν
ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν Λοιδίαν ποταμὸν τῆς νυκ-
τὸς ὡς Φίλιππον, καὶ τὴν ἐπιστολὴν τὴν δεῦρο ἐλθοῦ-
σαν Φιλίππῳ γράψαι. ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων
ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν ἐπιδεξίως
ἐπιστολὴν γράψαι, ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι
μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον τῶν ἄλλων μάλιστα
125 εἰπεῖν δύνασθαι· οὐδ' αὐτὸς ὁ Φίλιππος, πρὸς ὃν ἀντ-
ειπεῖν Δημοσθένης ὑπὲρ ὑμῶν οὐκ ἐδυνήθη· οὐδ' ὁ
Βυζάντιος Πύθων, ἄνθρωπος ἐπὶ τῷ γράφειν λόγους
μέγα φρονῶν· ἀλλ' ὡς ἔοικε, τὸ πρᾶγμα ἐμοῦ προσε-
δεῖτο. καὶ λέγεις μὲν ὅτι Φιλίππῳ μεθ' ἡμέραν μόνος
μόνῳ διελεγόμην, αἰτιᾷ δὲ εἰσπλεῖν με νύκτωρ κατὰ τὸν
ποταμόν· οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ πρᾶγμα ἐδεῖτο.
126 ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἥκουσι μὲν μαρτυρήσοντες
μεθ' ὧν συνεσίτουν, Ἀγλαοκρέων ὁ Τενέδιος καὶ Ἰατρο-
κλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἑξῆς ἅπαντα τὸν χρόνον
τὰς νύκτας ἀνεπαυόμην, οἳ συνίσασιν ἐμοὶ μηδεμίαν
πώποτε ἀπ' αὐτῶν νύκτα ἀπογενομένῳ μηδὲ μέρος νυ-
κτός· ἄγωμεν δὲ καὶ τοὺς οἰκέτας καὶ παραδιδῶμεν εἰς
βάσανον. καὶ τὸν μὲν λόγον, εἰ συγχωρήσει ὁ κατήγορος,
καταλύω· παρέσται δὲ ὁ δήμιος καὶ βασανιεῖ ἐναντίον
ὑμῶν, ἐὰν κελεύητε. ἐνδέχεται δὲ τὸ λοιπὸν μέρος τῆς
ἡμέρας ταῦτα πρᾶξαι· πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν
127 διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι. κἂν φῶσιν ἀπό-
κοιτόν με τουτωνὶ πώποτε τῶν συσσίτων γεγονέναι, μὴ

---

1. ἀνθρώπου *om.* m[1] — R *et* Bkk *interpunxerunt:* τίνες. ἀπάται (ταῦτα γὰρ . ἀνθρώπου) ἐξ ὧν κτλ. — 2. Λοιδίαν Harp. 121 Phot. Suid., Λυδίαν C — 3. ἐλθοῦσαν *om.* l — 5. ἐνθάδε el — 6. *pro* ἐπιστολὴν *lacuna in* k — 6. 7. ἀποφαίνεσθαι .. Ἀφιδναῖον *om.* fk — 7. ἀφνιδαῖον el[1] — 8. εἰπεῖν δύνασθαι: εἰς . . . νᾶσθαι k — ὁ *om.* g — 9. ἡμῶν elgm — 10. Πύθων: πυ. . k — ἐπὶ τῷ Wolf, περὶ τὸ C — λόγους *om.* AM — 12. μὲν *om.* k — μεθ' ἡμέραν *om. in lac.* k, *add.* B πολλάκις, *om.* AM — 13. με νύκτωρ κατα: μὲν . . . . τα k — 15. μαρτυρήσαντες l — 19. ποτὲ ek — 20. ἄγομεν . . παραδίδομεν M — 22. λύω A — παρέσται . . ὑμῶν Thom. 94 — δὲ A Thom., δὲ ἤδη BM — δημόσιος Mkl Thom. — 23. ἐὰν e, ἂν x — 25. δεδιαμεμετρημένη l — 26. τούτων Af — γεγονέναι Baiter, βασανιζόμενοι γεγον. C.



φείσησθέ μου, ὦ Ἀθηναῖοι, ἀλλ' ἀναστάντες ἀποκτείνατ',
ἐὰν δ' ἐξελεγχθῇς ψευδόμενος, Δημόσθενες, τοιαύτην
δίκην δός· ὁμολόγησον ἀνδρόγυνος εἶναι καὶ μὴ ἐλεύ-
θερος ἐναντίον τούτων. κάλει μοι τοὺς οἰκέτας δεῦρο
ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων ἀναγίγνωσκε
μαρτυρίαν.

## ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ.

Ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν οὐδ' ἂν 128
φησιν ἐν βασάνοις ἀνδραπόδων γενέσθαι, λαβέ μοι τὴν
ἐπιστολὴν ταύτην, ἣν ὁ Φίλιππος ἔπεμψε. δῆλον γὰρ
ὅτι καὶ μεγάλα τὴν πόλιν παραλογίζεται, δι' ἣν ἠγρυ-
πνοῦμεν γράφοντες.

## ΕΠΙΣΤΟΛΗ.

Ἀκούετε, ὦ ἄνδρες, ὅτι „τοὺς ὅρκους ἀπέδωκα" φησὶ 129
„τοῖς ὑμετέροις πρέσβεσι," καὶ τῶν συμμάχων τῶν ἑαυ-
τοῦ τοὺς παραγενομένους κατ' ὄνομα γέγραφε, καὶ αὐ-
τοὺς καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' ὑστερήσαντας τῶν
συμμάχων ἀποστελεῖν φησι πρὸς ὑμᾶς. ταῦτ' οὖν οὐκ
ἂν οἴεσθε δύνασθαι γράψαι Φίλιππον μεθ' ἡμέραν
ἄνευ ἐμοῦ;

Ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς οὑτοσὶ δοκεῖ τοῦτο μόνον 130
λογίζεσθαι, ὅπως με κακῶς λέγων εὐδοκιμήσει· εἰ δὲ
μικρὸν ἐπισχὼν δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι,
οὐδὲ μικρὸν φροντίζει. τί γὰρ ἄν τις τοιούτῳ πιστεύ-
σειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν ὡς Φίλιππος οὐ
τοῖς αὑτοῦ στρατηγήμασιν, ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις
εἴσω Πυλῶν παρῆλθε; καὶ λογισμόν τινα ἡμερῶν συνη-
ριθμεῖτο πρὸς ὑμᾶς, ἐν αἷς ἐγὼ μὲν ἀπήγγελλον τὴν
πρεσβείαν, οἱ δὲ Φαλαίκου τοῦ Φωκέων τυράννου δρο-

---

1. φείσασθέ e, φείσασθαί l — ἐξαναστάντες kl — ἀποκτείνατε ἂν e, ἀποκτείνατε ἐὰν x — 11. καὶ S, τὰ B, *om.* A[1]M — 14. ἀκούετε i, ἠκούσατε e, ἀκούσατε x — ἄνδρες ag, ἀθηναῖοι x — ἀποδέδωκα gi — 15. ἡμ. gm — 16. γέγραφε aik, γέγραφα x — 22. με κακῶς A, μεταξὺ BM — εὐδοκιμήσῃ C, *em.* Bkk. — 23. δόξῃ elm — 24. φροντίζειν Co — 25. ὡς: ὁ l — 29. τοῦ: τῶν l.

μοκήρυκες τἀνθένδε ἐκεῖσε διήγγελλον, πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ εἴσω Πυλῶν αὐτὸν παρεδέξαντο καὶ τὰς
131 πόλεις τὰς αὐτῶν παρέδοσαν. ταῦτα μὲν οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διεφθάρη πράγματα πρῶτον μὲν διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία, ἔπειτα διὰ τὸ μῆκος τοῦ χρόνου καὶ τὸν δεκέτη πόλεμον. τὸ γὰρ αὐτὸ ηὔξησέ τε τῶν ἐν Φωκεῦσι τυράννων τὰ πράγματα καὶ καθεῖλε· κατέστησαν μὲν εἰς τὴν ἀρχὴν τολμήσαντες τῶν ἱερῶν χρημάτων ἅψασθαι [καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν] κατελύθησαν δ' ἀπορίᾳ χρη-
132 μάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα. τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις συνήθως παρακολουθοῦσα στάσις, τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν μελλόντων ἔσεσθαι πραγμάτων ἄγνοια. ἡ μὲν γὰρ Θετταλῶν καὶ Φιλίππου στρατεία πρόδηλος ἦν, οὐ πολλῷ δὲ χρόνῳ πρότερον πρὶν τὴν πρὸς ὑμᾶς εἰρήνην γενέσθαι πρέσβεις πρὸς ὑμᾶς ἦλθον ἐκ Φωκέων, βοηθεῖν αὐτοῖς κελεύοντες καὶ ἐπαγγελλόμενοι παραδώσειν Ἀλπωνὸν καὶ Θρόνιον καὶ Νίκαιαν, τὰ τῶν
133 παρόδων τῶν εἰς Πύλας χωρία κύρια. ψηφισαμένων δ' ὑμῶν παραδοῦναι Προξένῳ τῷ στρατηγῷ τοὺς Φωκέας ταῦτα τὰ χωρία καὶ πεντήκοντα πληροῦν τριήρεις καὶ τοὺς μέχρι τριάκοντα ἔτη γεγονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία Προξένῳ ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς ἐπαγγελλομένους ὑμῖν τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις τοῖς τὰς μυστηριώτιδας σπονδὰς ἐπαγγέλλουσι μόνοι τῶν Ἑλλήνων Φωκεῖς οὐκ ἐσπείσαντο. καὶ πάλιν Ἀρχιδάμου τοῦ Λάκωνος παραλαμβάνειν ὄντος ἑτοίμου τὰ χωρία καὶ φυλάττειν οὐκ ἐπείσθησαν, ἀλλ'

1. τἀνθένδεν m — διήγγελον em — 2. παρεδέχοντο A — 3. αυν om. l — 5 et 6. διὰ bis om. A — 6. δεκέτη a², δεκαετῆ C — 8. μὲν el, μὲν γὰρ x — 11. ἐπειδὴ .. ὑπάρχοντα Thom. 242 — τρίτη AM — 13. συνήθης A¹fgm — παρακολουθήσασα g — 14. μελλόντων om. Af¹ — 16. πρὶν AM, πρὶν ἢ B — ἡμᾶς A¹B — 17. ἡμᾶς gmk — 19. δώσειν kl — 21. ἡμῶν A — καὶ τῷ στρατηγῷ e, καὶ τοὺς στρατηγοὺς l — 22. 23. ταῦτα .. μέχρι om. A — 25. ἐπαγγειλαμένους i — ὑμῖν: add. a παραδώσειν, x παραδοῦναι, del. W — 28. καὶ om. i — 29. φυλάξειν A.



ἀπεκρίναντο αὐτῷ τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι καὶ μὴ τὰ παρ' αὐτοῖς. κἀνταῦθα οὔπω διελέλυσθε Φι- 134
λίππῳ, ἀλλ' ἐν τῇ αὐτῇ ἡμέρᾳ περί τε τῆς εἰρήνης ἐβουλεύεσθε καὶ τῆς ἐπιστολῆς ἠκούετε τῆς Προξένου, ὅτι Φωκεῖς οὐ παραδεδώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια ἐπαγγέλλοντες μόνους τῶν ἄλλων Ἑλλήνων ἀπέφηναν Φωκέας οὐ δεδεγμένους τὰς σπονδάς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυθότας πρέσβεις δεδεκότας. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι τοὺς σπονδοφόρους καὶ τοὺς παρὰ Προξένου τοῦ στρατηγοῦ πρεσβεύσαντας εἰς Φωκέας, Καλλικράτην καὶ Μεταγένην. καὶ τῆς ἐπιστολῆς ἀκούσατε τῆς Προξένου.

### ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΗ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν χρόνων παρανα- 135
γιγνωσκομένων ἐκ τῶν δημοσίων γραμμάτων καὶ τῶν μαρτύρων ὑμῖν προσδιαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευτὴν Φάλαικος ὁ τῶν Φωκέων τύραννος ὑμῖν μὲν καὶ Λακεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ' ἐπίστευεν.

Ἀλλ' οὗτος μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς 136
δὲ αὐτοὶ δημοσίᾳ πῶς διέκεισθε; οὐ πάντες προσεδοκᾶτε Φίλιππον ταπεινώσειν Θηβαίους ὁρῶντα αὐτῶν τὴν θρασύτητα καὶ τῷ μὴ βούλεσθαι δύναμιν ἀνθρώπων ἀπίστων ἐπαυξῆσαι; Λακεδαιμόνιοι δὲ οὐ μεθ' ὑμῶν τἀναντία Θηβαίοις ἐπρέσβευον, καὶ τελευτῶντες προσέκρουον φανερῶς ἐν Μακεδονίᾳ καὶ διηπείλουν τοῖς τῶν Θηβαίων πρέσβεσιν; αὐτοὶ δὲ οὐκ ἠπόρουν καὶ ἐφοβοῦντο οἱ τῶν Θηβαίων πρέσβεις; Θετταλοὶ δὲ οὐ

1. Σπάρτης: σπα... k — καί: τὸ el — 2. μὴ τὰ Wolf, μηδὲ a, μὴ x — οὔπω: οὕτως l — διαλέλυσθε m, δι..... k — 3. τε om. gim — 4. τῆς Πρ.: τοῦ προξ. ei — 5. δεδώκασιν li — αὐτῷ Markl. — 6. ἐπαγγ. Tur., ἀπαγγ. C, cf. § 133 — 8. δεδεκότας dk, δεδοικότας f, δεδηκότας x — 9. μοι om. A — 11. μεταγέννην e, μεταγενν... k, μεταγενὴν (η superscr.) a — 14. ἄνδρες add. ae — 14. 15. παραγινωσκ. e — 16. προδιαμ. el — 18. ὑμῖν e, ἡμῖν x — 21. πάντως Af — 23. τῷ Wolf, τὸ C, del. S — 24. ἐπαυξῆσαι S, ἐπασκῆσαι C — 25. ὑμῶν e, ἡμῶν x.

κατεγέλων τῶν ἄλλων, ὑπὲρ αὐτῶν φάσκοντες τὴν στρα-
137 τείαν εἶναι; τῶν δ᾽ ἑταίρων τινὲς τῶν Φιλίππου οὐ διαρρήδην πρός τινας ἡμῶν ἔλεγον ὅτι τὰς ἐν Βοιωτοῖς πόλεις κατοικιεῖ Φίλιππος; Θηβαῖοι δ᾽ οὐκ ἐξεληλύθεσαν πανδημεὶ, ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ ταῦθ᾽ ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν ὁ Φίλιππος ἐξιέναι πάσῃ τῇ δυνάμει βοηθήσοντας τοῖς δικαίοις; οἱ δὲ νῦν πολεμικοὶ καὶ τὴν εἰρήνην ἀνανδρίαν καλοῦντες οὐ διεκώλυσαν ὑμᾶς ἐξελθεῖν εἰρήνης καὶ συμμαχίας γεγενημένης, δεδιέναι φάσκοντες μὴ τοὺς στρατιώτας ὑμῶν
138 ὁμήρους λάβῃ Φίλιππος; πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν δῆμον μιμεῖσθαι, ἢ σὺ καὶ οἱ μετὰ σοῦ συνεστηκότες ἐπὶ τὰ κοινά; καὶ πότερον ἦν ἀσφαλεστέρα καὶ καλλίων Ἀθηναίοις ἡ ἔξοδος ἡνίκα ἤκμαζον μὲν τῇ μανίᾳ Φωκεῖς, ἐπολέμουν δὲ Φιλίππῳ .... Ἀλπωνὸν καὶ Νίκαιαν παραδόντος Φαλαίκου Μακεδόσι, τὰς σπονδὰς δὲ, οἷς ἐμέλλομεν βοηθεῖν, τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο, Θηβαίους δ᾽ ὄπισθεν κατελείπομεν, ἢ μεταπεμπομένου μὲν Φιλίππου, ὅρκων δ᾽ ὑμῖν καὶ συμμαχίας γεγενημένης, Θετταλῶν δὲ καὶ τῶν ἄλλων Ἀμφι-
139 κτυόνων στρατευόντων; οὐ πολλῷ καλλίων οὗτος ἦν ὁ καιρὸς ἐκείνου, ἐν ᾧ διὰ τὴν σὴν ἀνανδρίαν καὶ ἅμα φθόνον ἐσκευαγώγησαν ἐκ τῶν ἀγρῶν Ἀθηναῖοι, πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν, ἐφ᾽ ἣν τολμᾷς με λέγειν ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ᾽ ὢν οὔπω καὶ τήμερον ἠθέληκάς με εἰσαγγεῖλαι παρα-

3. τινας ἡμῶν k, ἡμᾶς el, τινας ὑμῶν x — 4. κατοικιεῖ fm$^{2}$, κατοικεῖ x — 4. 5. ἐξεληλύθεισαν m — 6. ὁ om. A — 7. τῇ om. A — 8. πολέμιοι A — καὶ om. ek — 9. ἡμᾶς el — 9. 10. γεγεν. W, γεγεν. ὑμῖν el, ὑμῖν γεγεν. x — 12. δῆμον: lacuna in k — 13. πότερα el — 15. μὲν F, ἐν C — ....: C εἶχον δὲ, Madvig Adv. I 454 ἔχοντι — 16. παραδόντος ABM, μήπω παραδ. im$^{2}$, οὔπω παραδ. h — Μακεδόσι: Μακεδόνες F — 18. θηβαίοις e — κατελείπομεν Bkk., κατελίπομεν C — ἢ ex h add. H — 19. ὑμῖν e, ἡμῖν x — 21. στρατευόντων: lacuna in k — 21. 22. ὁ καιρὸς οὗτος ἦν el, ἦν ὁ καιρὸς ἦν οὗτος k, fort. καλλίων ὁ καιρὸς οὗτος ἐκείνου — 23. 24. πρεσβείαν: add. C ἐπὶ τὸ κοινὸν τῶν ἀμφικτυόνων, del. W, τὴν ἐπὶ τὸ κτλ. F — 24. ἣν: ἢ a$^{1}$gi — 25. ὡς om. l — 26. ἠθέληκάς e, ἐθέληκας Ml, τεθέληκας Bk



πρεσβεύσασθαι; οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῶν εἰς τὸ σῶμα τιμημάτων. τοιγάρτοι Θηβαίων μὲν παρακαθη- 140
μένων καὶ δεομένων, τῆς δ᾽ ἡμετέρας πόλεως διὰ σὲ τεθορυβημένης καὶ τῶν Ἀθηναίων ὁπλιτῶν οὐ παρόντων, Θετταλῶν δὲ Θηβαίοις προσθεμένων διὰ τὴν ὑμετέραν ἀβουλίαν καὶ τὴν πρὸς Φωκέας ἔχθραν, ἣ προϋπῆρχε Θετταλοῖς ἐκ παλαιῶν χρόνων, ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες Φωκεῖς κατηλόησαν, Φαλαίκου δὲ πρὶν ἐμὲ ἐλθεῖν καὶ Στέφανον καὶ Δερκύλον καὶ τοὺς ἐπὶ τοὺς Ἀμφικτυόνας πρέσβεις ἀπεληλυθότος ὑποσπόνδου, Ὀρχο- 141
μενίων δὲ περιφόβων ὄντων καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων ὥστε ἀπελθεῖν ἐκ τῆς Βοιωτίας, παρεστηκότων μὲν τῶν Θηβαίων πρέσβεων, ὑπολειπομένης δ᾽ ἔχθρας φανερᾶς Φιλίππῳ πρὸς Θηβαίους καὶ Θετταλοὺς, τότε ἀπώλοντο αἱ πράξεις, οὐ δι᾽ ἐμὲ ἀλλὰ διὰ τὴν σὴν προδοσίαν καὶ τὴν πρὸς Θηβαίους προξενίαν. μεγάλα δ᾽ οἶμαι τούτων ἐγὼ σημεῖα ἐπιδείξειν. εἰ γάρ τι τού- 142
των ἀληθὲς ἦν ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου Βοιωτῶν καὶ Φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν ἐξεβεβλήκειν, τοὺς δ᾽ ἐκώλυσα κατελθεῖν· νῦν δ᾽ οὐχὶ τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ φεύγοντες Βοιωτῶν ᾕρηνταί μοι συνηγόρους, ἥκουσι δ᾽ ἀπὸ τῶν ἐν Φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν πρεσβεύων ἔσωσα Οἰταίων ἐγχειρούντων λέγειν ὡς δεῖ τοὺς ἡβῶντας ὠθεῖν κατὰ τοῦ κρημνοῦ, καὶ παρήγαγον εἰς τοὺς Ἀμφικτυόνας ὥστε ἀπολογίας τυχεῖν. ὁ μὲν γὰρ Φάλαικος ὑπόσπονδος ἀφεῖτο, οἱ δὲ ἀναίτιοι ἀποθνήσκειν ἔμελλον, συναγορεύοντος δ᾽ ἐμοῦ διεσώθησαν. ὅτι δ᾽ 143

1. δὴ om. a — φθονήσεις A$^{2}$gm — γε: δὲ l — 3. ὡς διὰ σὲ a — 4. πολιτῶν gim — 8. κατηλόησαν: κατῆλθον el — 8. 9. ἐξελθεῖν l — 9. ἐπὶ τοὺς add. D — 12. βοιωτίας τῷ φιλίππῳ συνιόντων g — 15. σὴν om. cl — 18. ὧν: ὡς l — 18. 19. βοιωτῶν e, βοιωτοὶ x — 19. καὶ om. A — 20. ἐκώλυσα: ἀπέλυσα A — οὐ kl — 22. φεύγοντες: γοντες k, προάγοντες l — 23. συνηγορεῖν am — 24. πρεσβείαν: add. C ἐπὶ τοὺς ἀμφικτύονας, del. W — 25. οἰτείων k — 26. τοῦ om. m — τοὺς om. g — 27. 28. φάλαικος τύραννος (ὁ τύρ. g) C, em. D — 29. διέσωσαν A.

ἀληθῆ λέγω, κάλει μοι Μνάσωνα τὸν Φωκέα καὶ τοὺς συμπρέσβεις καὶ τοὺς ἀπὸ τῆς τῶν Βοιωτῶν φυγῆς ἡρημένους. ἀνάβηθι δεῦρο, Λίπαρε καὶ Πύθων, καὶ τὴν αὐτὴν ἀπόδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος σωτηρίαν ἥνπερ ἐγὼ ὑμῖν.

## ΣΥΝΗΓΟΡΙΑ ΒΟΙΩΤΩΝ ΚΑΙ ΦΩΚΕΩΝ.

Πῶς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν Δημοσθένους τοῦ Θηβαίων προξένου καὶ πονηροτάτου τῶν Ἑλλήνων, συναγορευόντων δέ μοι Φωκέων καὶ Βοιωτῶν ἁλοίην;

144 Ἐτόλμησε δ᾽ εἰπεῖν, ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. φησὶ γάρ με εἰπεῖν ὅτ᾽ ἔκρινον Τίμαρχον, ὅτι πάντες κατ᾽ αὐτοῦ τὴν τῆς πορνείας φήμην παρειλήφασι, τὸν δ᾽ Ἡσίοδον ποιητὴν ἀγαθὸν ὄντα λέγειν,

φήμη δ᾽ οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι· θεός νυ τίς ἐστι καὶ αὐτή.

τὴν δ᾽ αὐτὴν ταύτην θεὸν ἥκειν νῦν κατηγοροῦσαν ἐμοῦ·
145 πάντας γὰρ λέγειν ὡς χρήματα ἔχω παρὰ Φιλίππου. εὖ δ᾽ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει φήμη καὶ συκοφαντία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ, διαβολὴ δὲ ἀδελφόν ἐστι καὶ συκοφαντία. διοριῶ δ᾽ αὐτῶν ἑκάτερον σαφῶς. φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ᾽ ἐστίν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλὼν ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν διαβάλλῃ τινά. καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν ὡς θεῷ, τῶν δὲ συκοφαντῶν ὡς κακούργων δημοσίᾳ προβολὰς ποιού-

3. πυθίων A¹M — 4. ἀπόδος A — μοι om. kl — σωτηρίαν om. Af — 7. καὶ πῶς gm — 8. 9. θηβαίων καὶ φωκέων c, φωκέων καὶ θηβαίων k — 10. ἁλοίμην el — 13. κατ᾽: καὶ ek, om. M — πονηρίας gi — 14. Cf. I 129 — 15. οὗτοι e — 15. 16. λαοὶ πολλοὶ i, om. λαοὶ el, πολλοὶ λαοὶ x — 16. φημίξωσι I 129, φημίξουσι A¹f, φημίζουσι d, φημίζωσι B — 17. νῦν om. kl — 18. ὡς: οὐ l — ἔχειν A — 21. ἐστι συκοφαντίᾳ Herw., malim αἰτίᾳ καὶ συκοφαντίᾳ — 22. ἑκατ. αὐτῶν g — μὲν γὰρ i — 27. 28. τῶν δέ: τῇ δὲ φήμῃ τῶν Af — 28. προσβολὰς el, cf. Thom. 278. Harp. 157.



μεθα. μὴ οὖν σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις.

Ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων 146
ἠγανάκτησα, μάλιστα δὲ ἡνίκα ᾐτιᾶτό με εἶναι προδότην· ἅμα γὰρ ταῖς αἰτίαις ταύταις φανῆναί με δεῖ θηριώδη καὶ τὴν ψυχὴν ἄστοργον καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι πρότερον ἔνοχον. τοῦ μὲν οὖν ἐμοῦ βίου καὶ τῆς καθ᾽ ἡμέραν διαίτης ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω· ἃ δ᾽ ἐστὶ τοῖς μὲν πολλοῖς ἀσύνοπτα τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ πλεῖστα καὶ μάλα καλῶς ἔχοντα ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι, ἵν᾽ εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας, ἃς οἴκοι
καταλιπὼν εἰς Μακεδονίαν ἐπρέσβευσα. σὺ μέν, Δη- 147
μόσθενες, ταῦτα ἐπλάσω ἐπ᾽ ἐμέ, ἐγὼ δ᾽ ὡς καλῶς ἐπαιδεύθην καὶ δικαίως ἐξηγήσομαι. οὑτοσὶ μέν μοι ἐστὶ πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν· ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα, καὶ συμβέβηκεν αὐτῷ νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δὲ ὑπὸ τῶν τριάκοντα στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν δ᾽ ἐν τοῖς κινδύνοις, συγκατάγειν δὲ τὸν δῆμον, ὥσπερ καὶ ὀλίγῳ πρότερον εἶπον, εἶναι δ᾽ ἐκ φρατρίας τὸ γένος ἣ τῶν αὐτῶν βωμῶν Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια.
ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι καὶ τοὺς πρὸς μη- 148
τρὸς ἅπαντας, ἣ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας καὶ διηπορημένη. καίτοι, Δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ αὑτῆς ἀνδρὸς εἰς Κόρινθον καὶ μετέσχε τῶν πολι-

1. οὖν om. el — ταυτὸ Af — κάκιστα l — 3. ἐπὶ om. A — 4. με εἶναι Be, εἶναί με x — 5. ἔδει Af — 6. ἄστοργον: καὶ τὸν λόγον A — 7. οὖν om. A — 11. καὶ μάλα W, καὶ τὰ k, καὶ x — 13. ἐν μακεδονίᾳ A — 13. 14. δημ. ikl, ὦ δημ. x — 14. ταῦτα corruptum est — καλῶς add. Markl — 17. ἤδη γὰρ ἔτη c — ἐνενήκ. da — καὶ . . . τριάκοντα om. A — 21. συγκατ. . . εἶπον: huc transposuit Schultz, in C post ἱέρεια sequuntur — 23. φρατρίας Brodaeus, φατρίας C — ἐτεοβουτάδος el — 26. 27. προὐφαίνεται m, φαίνεται A — 28. καίτοι l, καίτοι ὦ x — 29. ἀνδρὸς: add. Mgia² ἐπὶ τῶν τριάκοντα.

τικῶν κακῶν· σὺ δ' ὁ ἀμφισβητῶν ἀνὴρ εἶναι, οὐ γὰρ ἂν τολμήσαιμι εἰπεῖν ὡς ἀνὴρ εἶ, ἐγράφης λιποταξίου καὶ τὸν γραψάμενον Νικόδημον τὸν Ἀφιδναῖον χρήμασι πείσας ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας καὶ οὐ καθαρὸς ὢν εἰς τὴν ἀγορὰν ἐμβάλλεις.
149 Φιλοχάρης δ' οὑτοσὶ ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ ἀγεννεῖς διατριβὰς ὡς σὺ βλασφημεῖς ἔχων, ἀλλ' ἐν γυμνασίοις διατρίβων καὶ μετὰ Ἰφικράτους συνεστρατευμένος καὶ συνεχῶς ἔτος ἤδη τρίτον τουτὶ στρατηγῶν ἥκει δεησόμενος ὑμῶν ἐμὲ σῶσαι. Ἀφόβητος δ' οὑτοσὶ ὁ νεώτατος ἀδελφὸς ἡμῶν, πεπρεσβευκὼς μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς τὸν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους, ἀλλ' οὐ Κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων ὥσπερ σύ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν· τὸ γὰρ ψευδὲς ὄνειδος
150 οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. ἐτόλμησας δὲ καὶ κατὰ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν· οὕτως ἀναιδὴς καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς Φιλόδημον τὸν Φίλωνος πατέρα καὶ Ἐπικράτους οὐκ ἀγαπᾷς οὐδὲ προσκυνεῖς, δι' ὃν εἰς τοὺς δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ πρεσβύτατοι Παιανιέων. ἐκπέπληγμαι δὲ εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι [δικάσοντες] ἕνεκα τοῦ βελτίστου τῆς πόλεως καὶ μᾶλλον προσέχουσι τοῖς βίοις
151 ἡμῶν ἢ τοῖς λόγοις. πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξασθαι μυρίους ὁπλίτας ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους κιναίδους οἷός περ σύ; καὶ τὴν

1. δ' ὁ Bkk., δὲ C — 2. εἶ om. Af — ἐγράφης S Vat., ἐνεγράφης C — λειποταξίου C — 3. ἀφνιδ. e — 5. ὢν: add. Bk τὰς χεῖρας — 6. οὑτοσὶν g — 9. τρίτον τουτὶ eil, τουτὶ τρίτον x — 10. οὑτοσὶν cg — 11. μὲν om. e — 12. περσῶν ci, τῶν περσῶν x — 18. καὶ add. i — 20. πόρρωθεν kl — εἶ om. gm — ὃς: ὡς Ad — 22. δήμους A — 25. δικάσοντες Bi, δικάζοντες AM — 28. ὁμοίως l — 30. οἷός g, οἵους x.



Ἐπικράτους εὐαγωγίαν τοῦ Φίλωνος ἀδελφοῦ ἐπανάγεις εἰς ὀνείδη. καὶ τίς αὐτὸν εἶδε πώποτε ἀσχημονήσαντα ἢ μεθ' ἡμέραν, ὡς σὺ φῄς, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν τοῦτό γ' εἴποις, ὡς ἔλαθεν· οὐ
γὰρ ἠγνοεῖτο. ἐμοὶ δὲ, ὦ ἄνδρες, ἐκ τῆς Φιλοδήμου 152
θυγατρὸς καὶ Φίλωνος ἀδελφῆς καὶ Ἐπικράτους τρεῖς παῖδές εἰσι, μία μὲν θυγάτηρ, δύο δὲ υἱεῖς· οὓς ἐγὼ ἥκω μετὰ τῶν ἄλλων κομίζων ἑνὸς ἐρωτήματος ἕνεκα καὶ τεκμηρίου πρὸς τοὺς δικαστάς, ᾧ νῦν ἤδη χρήσομαι. ἐρωτῶ γάρ, ὦ ἄνδρες, εἰ δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι καὶ τῇ τῶν φίλων συνηθείᾳ καὶ ἱερῶν καὶ τάφων πατρῴων μετουσίᾳ τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας ποιήσασθαι. ποίων κρατηθεὶς ἡδονῶν; ἢ τί πώποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε.

Συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν 153
ἀνθρώπῳ γόητι καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι. ἡγεῖται δ' ὅταν τι ψεύδηται τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, καὶ τὰ μὴ γεγενημένα οὐ μόνον ὡς ἔστι λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φησι γενέσθαι· καὶ προστίθησιν τινὸς ὄνομα πλασάμενος, ὃς ἔτυχε παρών, μιμούμενος τοὺς τἀληθῆ λέγοντας. ἓν δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου καὶ τῇ τῶν ὀνομάτων συνθέσει νοῦν οὐκ ἔχει. σκέψασθε γὰρ ἀφροσύνην ἅμα καὶ ἀπαιδευσίαν τἀνθρώπου, ὃς τοιοῦτον ἔπλασε τὸ περὶ τὴν

2. αὐτὸν: ἂν el — πώποτε om. a — 4. γ' om. el — 5. δὲ om. a — ὦ om. ad — ἄνδρες i, om. a, ἀθηναῖοι x — 7. υἱεῖς Bi, υἱοί x — 8. ἥκω AMa, δεῦρο ἥκω gim — 9. ὃ νῦν δὴ ἐρήσομαι AM — 10. ἄνδρες W, ἄ. ἀθ. i, ἀθ. x — 11. 12. καὶ πατρῴων gm — 12. τουτους: τοῦ kl — τοὺς om. Mc — πάντας l — ἀνθρώπους kl — 14. ποίων . . ἡδονῶν el, ποίων . . ἡδονῇ Mk, ποίᾳ . . ἡδονῇ x — 20. ἑκὼν ekf — 22. μή add. Casaubonus, cf. III 99. 229 — 23. λέγειν AM — 24. προστίθησιν: add. Bi ἅμα — 24. 25. πεπλασμένος Vat., πεπλασμένον Schultz — 25. ὃς Bi, ὡς AM. — παρών: παρ' ὢν e — 29. ἐπλάσατο περὶ Hirschig.

Ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξερρίφη· τὸν γὰρ πλεῖστον ἀφεστη-
154 κότα τῶν τοιούτων πρὸς τοὺς εἰδότας διέβαλλε. σκέψασθε δὲ ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. ἔστι γάρ τις [ἐπιδημῶν ἡμῶν εἰς τὴν πόλιν] Ἀριστοφάνης Ὀλύνθιος· τούτῳ συσταθεὶς ὑπό τινων καὶ πυθόμενος ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν καὶ προσαγαγόμενος ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς ὑμᾶς, κἂν παρελθὼν ἐθελήσῃ σχετλιάσαι καὶ λέγειν ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα αἰχμάλωτον γεγενημένην πεπαρῴνηκα, πεντακοσίας μὲν ἤδη δραχμὰς ὑπισχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας, ἐπειδὰν
155 καταμαρτυρήσῃ. ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς διηγεῖτο, ὅτι τῆς μὲν φυγῆς καὶ τῆς παρούσης ἀπορίας αὐτῷ οὐ κακῶς ἀλλ' ὡς οἷόν τε ἄριστα στοχάζοιτο, τοῦ δὲ τρόπου πλεῖστον εἴη διημαρτηκώς· οὐδὲν γὰρ ἂν τοιοῦτον πρᾶξαι. ὅτι δὲ ἀληθῆ λέγω, αὐτὸν Ἀριστοφάνην μαρτυροῦντα παρέξομαι. κάλει μοι Ἀριστοφάνην τὸν Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίγνωσκε, καὶ τοὺς ἀκηκοότας αὐτοῦ καὶ πρὸς ἐμὲ ἀγγείλαντας, Δερκύλον Αὐτοκλέους Ἁγνούσιον καὶ Ἀριστείδην Εὐφιλήτου Κηφισιέα.

## ΜΑΡΤΥΡΙΑΙ.

156 Τῶν μὲν μαρτύρων διομνυμένων καὶ μαρτυρούντων ἀκούετε· τὰς δ' ἀνοσίους ταύτας τέχνας πρὸς τοὺς νέους ἐπαγγέλλεται νυνὶ κατ' ἐμοῦ. ἆρα μέμνησθε, ὡς ἐπιδακρύσας καὶ τὴν Ἑλλάδα κατοδυράμενος καὶ Σάτυρον τὸν

3. διέβαλε c — 5. ἐν τῇ πόλει ἡμῶν ἐπιδημῶν i, ἡμῶν εἰς τὴν πόλιν *iam Tur. delenda videbantur* — 8. προσαγόμενος A¹ — 9. σχέτλιάσασθαι el — 10. εἰς *om.* Ag — γυναῖκα Madvig, γυναῖκα καὶ C — 11. 12. πεντακοσίας .. δώσειν *om.* a¹ — 15. αὐτῷ ἀπορίας g — 16. 17. τοιοῦτον e, τοιοῦτο x — 17. αὐτόν: τὸν el — ἀριστοφάνη el — 18. τὸν *add.* i — 20. *malim* ἀπαγγείλαντας — 21. κηφισιέα Palmer, κηφισέα Af, κηφισσέα B — 24. δ' ἐακούετε am — ταύτας: τῶν λόγων ταύτας C, ταύτας τῶν λόγων i, *em.* Tur. — τέχνας: ἃς οὗτος *add.* BM, *om.* Af — νέους τῶν λόγων Af — 25. ἐπαγγέλλεται ABf, ἐπαγγ. καὶ κέχρηται di — 26. ὀδυράμενος Mk.



κωμικὸν ὑποκριτὴν προσεπαινέσας, ὅτι ξένους τινὰς αὐτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους παρὰ τὸν πότον ἐξῃτήσατο 157
παρὰ Φιλίππου, ταῦθ' ὑποθεὶς ἐπεῖπεν ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν καὶ ἀνόσιον φωνήν, ὡς δεινὸν εἴη εἰ ὁ μὲν τοὺς Καρίωνας καὶ Ξανθίας ὑποκρινόμενος οὕτως εὐγενὴς καὶ μεγαλόψυχος γένοιτο, ἐγὼ δ' ὁ τῆς μεγίστης πόλεως σύμβουλος, ὁ τοὺς μυρίους Ἀρκάδων νουθετῶν, οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παραθερμανθείς, ὅθ' ἡμᾶς εἱστία Ξενοδόκος τῶν ἑταίρων τις τῶν Φιλίππου, ἕλκοιμι τῶν τριχῶν καὶ λαβὼν ῥυτῆρα μαστιγοίην αἰχμάλωτον γυναῖκα. οὐκοῦν εἰ ὑμεῖς αὐτῷ ἐπι- 158
στεύσατε ἢ Ἀριστοφάνης μου συγκατεψεύσατο, ἐπ' αἰσχραῖς αἰτίαις ἀπωλόμην ἄν. ἐάσετε οὖν αὐτὸν τὸ τοιοῦτον αὑτοῦ προστρόπαιον, μὴ γὰρ δὴ τῆς πόλεως, ἐν ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ τούτου τὰς εὐχὰς ποιήσεσθε καὶ στρατιὰν ἢ πεζὴν ἢ ναυτικὴν ἐκπέμψετε; καὶ μὴν ὅ γε Ἡσίοδος λέγει

πολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.

Ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι. εἰ 159
γάρ που τις ἔστι κακία κατ' ἀνθρώπους, ἂν μὴ πρωτεύοντα περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτου τιμῶμαι. ἀλλ' οἶμαι πολλὰ καὶ χαλεπὰ παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους, καὶ

1. ὅτι ξένους .. παρὰ Φιλ. Suid. s. v. ὅτι ξένους, *cf.* Harp. 140. Phot. 354 — 2. 3. ἀμπελῶνι i — 3. τὸν *om.* Suid. etc. — ᾐτήσατο, ἠπάσατο l — 4. παρὰ e Suid. etc., παρὰ τοῦ x — 5. ἀνόσιον i, ἀνοσίαν x — φωνὴν *om.* l — εἴη *om.* Mel — 6. καὶ τοὺς A — 10. ξενοδόκος fl, ξενοδόχος d, ξενόδοκος x — 10. 11. τῶν Φ.: τοῦ φιλ. el — 11. 12. μαστιγοῖμι AM — 12. τὴν αἰχμ. AM — 14. ἀπωλόμην W, ἀπωλ. ἀδίκως e, ἀδίκως ἀπωλ. x — ἐάσατε deil Harp. 160 — 14. 15. τὸ τοιοῦτον Harp., τοιοῦτον C — 15. αὑτοῦ h, *om.* l, *in* f *lacuna est, cf.* Phot. Lex. 463, 3 Etym. Guel. 700, 9 — δὴ *om.* Af¹, δεῖ d — ἐν A, ὥστε ἐν MBi — 16. μὲν *om.* A — 17. τοῦτο l — 18. στρατείαν Bi — 20. Hesiod. *E* 240 — τοι: καὶ Hes. — 21. ὅς κεν: ὅστις Hes. — ἀλιτραίνει il Hes. — μητιάαται III 135 — 23. ἂν: εἰ A — 25. παρακολουθεῖν l — 27. ἐπὶ: ὑπὲρ A — τῆς *om.* g.

διαλογισμὸν παρίστησι μή τι παραλίπῃ τῶν κατηγορη-
μένων. ὥστε ἅμα μὲν ὑμᾶς ἅμα δὲ ἐμαυτὸν εἰς ἀνά-
160 μνησιν τῶν κατηγορημένων ἀγαγεῖν βούλομαι. σκοπεῖτε
γὰρ δὴ καθ᾽ ἕκαστον, ὦ Ἀθηναῖοι, ποῖον ἐγὼ ψήφισμα
γράψας κρίνομαι, ἢ ποῖον νόμον λύσας, ἢ ποῖον γενέ-
σθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιη-
σάμενος, ἢ τί τῶν δεδογμένων περὶ τῆς εἰρήνης ἀπα-
161 λείψας, ἢ τί τῶν μὴ δοξάντων ὑμῖν προσγράψας. οὐκ
ἤρεσκέ τισι τῶν ῥητόρων ἡ εἰρήνη· ἔπειτα οὐ τότε ἀν-
τιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; ἐπλού-
τουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν ὑμετέρων εἰσφορῶν
καὶ τῶν δημοσίων προσόδων, νῦν δὲ πέπαυνται· εἰρήνη
γὰρ ἀργίαν οὐ τρέφει· ἔπειτα οἱ μὲν οὐκ ἀδικούμενοι
ἀλλ᾽ ἀδικοῦντες τὴν πόλιν τιμωρήσονται τὸν προστάντα
τῆς εἰρήνης, οἱ δ᾽ ὠφελούμενοι τοὺς χρησίμους εἰς τὰ
162 κοινὰ γιγνομένους ἐγκαταλείψετε; συνῇδον γὰρ τοὺς
παιᾶνας Φιλίππῳ κατεσκαμμένων τῶν ἐν Φωκεῦσι πό-
λεων, ὥς φησιν ὁ κατήγορος. καὶ ποίῳ τεκμηρίῳ δύναιτ᾽
ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι; ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ
ξένια μετὰ τῶν συμπρέσβεων, ἦσαν δ᾽ οἱ κλητοὶ καὶ
συνδειπνοῦντες σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις
οὐκ ἐλάττους ἢ διακόσιοι. ἐν δὲ τούτοις, ὡς ἔοικεν,
ἐγὼ διαφανὴς ἦν οὐχ ὑποσιγῶν ἀλλὰ συνᾴδων, ὥς φησι
Δημοσθένης οὔτ᾽ αὐτὸς παρὼν οὔτε τῶν ἐκεῖ παρόντων
163 οὐδένα παρασχόμενος μάρτυρα. καὶ τῷ γε δῆλος ἦν, εἰ
μή γε ὥσπερ ἐν τοῖς χοροῖς προῇδον; οὐκοῦν εἰ μὲν
ἐσίγων, ψευδῆ μου κατηγορεῖς· εἰ δὲ ὀρθῆς ἡμῖν τῆς
πατρίδος οὔσης καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούν-
των συνῇδον μετὰ τῶν ἄλλων πρέσβεων τὸν παιᾶνα,
ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο Ἀθηναῖοι δὲ μηδὲν ἠδόξουν,

1. διὰ λογισμῶν l, $\overset{δια}{λογισμον}$ m — 2. ἐμαυτὸν: αὗτον k, αὐτὸν el — 4. ἐγὼ om. ek — 5. ἢ .. λύσας om. Af — 8. μὴ add. gm$^2$ — 9. τινι kl — 10. μὴ om. el — 11. ἡμετ. el — 12. πέπαυται AM — 14. προστάτην el — 19. ἐκλήθην μὲν: ἐκλήθημεν l — 22. τοσούτοις Herw. — 24. οὐδένα τῶν ἐκεῖ παρ. A — 29. πρέσβ. AM, συμπρεσβ. Bi — 30. ἠδίκουν l.



εὐσέβουν ἀλλ᾽ οὐκ ἠδίκουν καὶ δικαίως ἂν σωζοίμην.
ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλεής τις εἰμὶ ἄνθρω-
πος, σὺ δὲ εὐσεβὴς ὁ τῶν συσπόνδων κατήγορος; 164
Ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πε-
πρεσβευκὼς πρὸς Φίλιππον πρότερον παρεκάλουν ἐπ᾽
ἐκεῖνον τοὺς Ἕλληνας. καίτοι ταύτην, εἰ βούλει, τὴν κα-
τηγορίαν καὶ τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις.
ἐπολεμεῖτε Λακεδαιμονίοις, καὶ μετὰ τὴν ἐν Λεύκτροις
συμφορὰν αὐτοῖς ἐβοηθεῖτε· κατηγάγετε εἰς τὴν πατρίδα
φεύγοντας Θηβαίους, καὶ πάλιν τούτοις ἐμαχέσασθε ἐν
Μαντινείᾳ· ἐπολεμήσατε Ἐρετριεῦσι καὶ Θεμίσωνι, καὶ
πάλιν ἐσώσατε. καὶ μυρίοις ἄλλοις ἤδη τῶν Ἑλλήνων
οὕτω κέχρησθε· τοῖς καιροῖς συμπεριφέρεσθαι ἀνάγκη 165
πρὸς τὸ κράτιστον καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν. τὸν
δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν; οὐ τῇ πόλει πρὸς
τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; τὸν δὲ πονηρὸν
κατήγορον τί χρὴ λέγειν; οὐ τοὺς καιροὺς ἀποκρυπτό-
μενον τῆς πράξεως κατηγορεῖν; τὸν δὲ ἐκ φύσεως προ-
δότην πῶς χρὴ θεωρεῖν; ἆρά γε οὐχ ὡς σὺ τοῖς ἐντυγχά-
νουσι καὶ πιστεύσασι κέχρησαι, λόγους εἰς δικαστήρια
γράφοντα μισθοῦ τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγρα-
ψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών·
τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος 166
κρίνοντι Φορμίωνα. εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν
τὴν Ἀριστάρχου τοῦ Μόσχου· ταύτην ἀπώλεσας. προῦ-
λαβες τρία τάλαντα παρ᾽ Ἀριστάρχου φεύγοντος· τοῦτον
τὰ τῆς φυγῆς ἐφόδια ἀπεστέρησας, οὐκ αἰσχυνθεὶς τὴν
φήμην, ἣν προσεποιήσω, ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ
μειρακίου. οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ· οὐ προσδέχεται

2. τις om. Mkl — 3. συσπόνδων: add. di καὶ συσσίτων; om. ABC — 5. πεπρέσβευκα . . παρακαλῶν II — ἐπεκάλουν k — 9. αὐτοῖς W, τοῖς αὐτοῖς C, fort. αὐτοῖς etiam delendum. — 10. ἐμαχέσασθε i, ἐμάχεσθε x — 12. μυρίους ἄλλους Mc — 13. τοῖς A, τοῖς γὰρ BiM — φέρεσθαι B — 15. οὐ om. del — τὴν πόλιν l — 18. πράξεως: πό-λεως kl — 19. θεωρεῖν: ἐργολαβεῖν Schultz — οὐχ om. A — 20. πε-πιστεύκασι l — εἰς: ἢ MA — 21. γράφοντι kl — 22. φορμίωνι λόγον gm$^1$ — 27. τῆς om. B — 29. οὐ Af, οὐ γὰρ Bdi.

δίκαιος ἔρως πονηρίαν. ταῦτ' ἐστὶν ὁ προδότης καὶ τὰ
τούτοις ὅμοια.
167 Ἐμνήσθη δέ που περὶ τῆς στρατείας, καὶ τὸν κα-
λὸν στρατιώτην ἐμὲ ὠνόμασεν. ἐγὼ δὲ οὐχ ἕνεκα τῆς
τούτου βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου προ-
νοούμενος καὶ περὶ τούτων ἀνεπίφθονον λέγειν εἶναί
μοι νομίζω· ποῦ γὰρ ἢ πότε αὐτῶν ἢ πρὸς τίνας, πα-
ραλιπὼν τήνδε τὴν ἡμέραν, μνησθήσομαι; ἐκ παίδων
μὲν γὰρ ἀπαλλαγεὶς περίπολος τῆς χώρας ταύτης ἐγε-
νόμην δύ' ἔτη, καὶ τούτων ὑμῖν τοὺς συνεφήβους καὶ
168 τοὺς ἄρχοντας ἡμῶν μάρτυρας παρέξομαι· πρώτην δ'
ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ
συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν καὶ τῶν Ἀλκιβιά-
δου ξένων τὴν εἰς Φλιοῦντα παραπομπήν, κινδύνου συμ-
βάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην χαράδραν
οὕτως ἠγωνισάμην ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι·
καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους τὰς ἐν τοῖς ἐπω-
169 νύμοις ἐξῆλθον, καὶ τὴν ἐν Μαντινείᾳ μάχην συνεμαχε-
σάμην οὐκ αἰσχρῶς οὐδ' ἀναξίως τῆς πόλεως, καὶ τὰς
εἰς Εὔβοιαν στρατείας ἐστρατευσάμην, καὶ τὴν ἐν Τα-
μύναις μάχην ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα
ὥστε κἀκεῖ στεφανωθῆναι καὶ δεῦρο ἥκων πάλιν ὑπὸ
τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως ἀπαγγείλας, καὶ
Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξιάρχου καὶ συμπρε-
σβεύσαντος ἀπὸ στρατοπέδου μοι δευρὶ τὰ περὶ τὸν γε-
170 νόμενον κίνδυνον οἷος ἦν ἀπαγγείλαντος. ὅτι δὲ ἀληθῆ
λέγω, λαβέ μοι τοῦτο τὸ ψήφισμα, καὶ κάλει τὸν Τεμε-
νίδην καὶ τοὺς συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πό-
λεως στρατείας καὶ Φωκίωνα τὸν στρατηγόν, μήπω συνή-

1. τοῦτ' B. — 4. μὲ Ad, *fort.* ἔμ' — 11. ἄρχοντας Bkk., συνάρχοντας C — 12. στρ. ἐξελθ. gm — 13. συμπ. μετά: συμπ. τὰ Mkl, συμπαραπεμπόντων e — 14. εἰς φυλακοῦντας l — 15. νεμαιάδα k, νεμαιάδαν l — 17. 18. ἐπωνύμοις: *add.* c μέρεσιν, x καὶ τοῖς μέρεσιν, *del.* H — 18. 19. συνεμαχησάμην el — 22. στεφ.: *add.* dikl ὑπὸ τῶν ἡγεμόνων — ἥκω el — ὑπό: ἐπὶ e — 24. μενίτου k, μενείτου el — 25. ἀπὸ τοῦ F — μου l — τὰ S, καὶ B, καὶ τὰ A¹M — 25. 26. γενόμενον i, γινόμενον C — 26. οἷς l — 27. 28. μενίτην k, μενείτην el.



γορον, ἂν μὴ τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.

## ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

Ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην 171
ὑμῖν καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν
πρώτην ταύτην ὑμᾶς ἀπαιτῶ χάριν τὴν τοῦ σώματος
σωτηρίαν, οὐ μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ
μισοπόνηρος, οὐδὲ τοὺς Δημοσθένους ὑμᾶς οὐκ ἐῶν προ-
γόνους μιμεῖσθαι, οὐ γὰρ εἰσίν, ἀλλὰ τῶν καλῶν τῇ
πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. νῦν δ'
αὐτὰ πόρρωθεν ἀρξάμενος μικρῷ δίειμι σαφέστερον.
πρότερον ἡ πόλις ἡμῶν εὐδόξησε μετὰ τὴν ἐν Σαλαμῖνι 172
ναυμαχίαν πρὸς τὸν Πέρσην, καὶ τῶν τειχῶν ὑπὸ τῶν
βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς
Λακεδαιμονίους διέμεινεν ἡμῖν τὸ τῆς δημοκρατίας πο-
λίτευμα. συνταραχθέντες δὲ ὑπό τινων καὶ καταστάντες
πρὸς Λακεδαιμονίους εἰς πόλεμον, πολλὰ καὶ παθόντες
κακὰ καὶ ποιήσαντες, Κίμωνος τοῦ Μιλτιάδου προκη-
ρυκευσαμένου πρὸς Λακεδαιμονίους, ὄντος προξένου,
σπονδὰς πεντηκονταετεῖς ἐποιησάμεθα, ἐχρησάμεθα δὲ
ἔτη τριακαίδεκα. ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν 173
τὸν Πειραιᾶ καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν, ἑκα-
τὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα,
τριακοσίους δ' ἱππέας προσκατεσκευασάμεθα, καὶ τρια-
κοσίους Σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως
εἴχομεν. παρεμπεσόντων δ' εἰς τὴν πολιτείαν ἡμῶν οὐκ
ἐλευθέρων ἀνθρώπων καὶ τοῖς τρόποις οὐ μετρίων πάλιν

5. τῶν ὑμ. παίδ. g, τῶν ἡμ. παίδ. l — 6. ταύτην *add.* agi — 8. οὐδὲ i, οὐ x — τοὺς *om.* A — ὑμᾶς οὐκ R, οὐ. οὐκ e, οὐ οὐκ kl, ὑμᾶς a — 12. *In usum suum convertit Aesch.* (172—176) *Andocidis de pace locum* § 3—9 — πότερον l — 13. τῶν μὲν Emperius — ὑπό: πρὸς A — 15. ὑμῖν ag — 18. Μιλτιάδου τοῦ Κίμωνος C, *em.* Kirchner *et* Mitford *ap.* D *ad. Andoc.* — 19. τοῦ προξένου B — 20. σπονδάς: *add.* C τοῦ πολέμου, *del.* H — ἐποιησάμεθα i, ἐποιήσαμεν C — ἐχρ. δὲ AM, ἐχρ. δὲ αὐταῖς Bi — 21. ἐτειχίσαμεν μὲν Bkk — 23. ταῖς ἐν kl, *fort.* ταῖς ἔτι, *cf.* And. 5 — 24. προκατεσκ. A, κατεσκ. M, κατεστησάμεθα Andoc. — 25. τοξότας σκύθας ikdgm — 26. παρεμπεσόντος a, παραπεσόντων ck — 27. οὐ *om.* A.

πρὸς Λακεδαιμονίους δι' Αἰγινήτας εἰς πόλεμον κατέ-
174 στημεν, κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες τῆς μὲν εἰρήνης
ἐπεθυμήσαμεν, Ἀνδοκίδην δ' ἐκπέμψαντες [πρὸς τοὺς
Λακεδαιμονίους] καὶ τοὺς συμπρέσβεις εἰρήνην ἔτη
τριάκοντα ἠγάγομεν, ἣ τὸν δῆμον ὑψηλὸν ἦρεν· χίλια
μὲν γὰρ τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν ἀκρό-
πολιν, ἑκατὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα καὶ
νεωσοίκους ᾠκοδομήσαμεν, χιλίους δὲ καὶ διακοσίους
ἱππέας κατεστήσαμεν καὶ τοξότας ἑτέρους τοσούτους,
καὶ τὸ μακρὸν τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν
175 δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι. πάλιν δὲ εἰς
πόλεμον διὰ Μεγαρέας πεισθέντες καταστῆναι, καὶ
τὴν χώραν τμηθῆναι προέμενοι καὶ πολλῶν ἀγαθῶν
στερηθέντες εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ
Νικίου τοῦ Νικηράτου. καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ
ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν διὰ
τὴν εἰρήνην ταύτην, τριήρεις δ' ἐκτησάμεθα πλωίμους
καὶ ἐντελεῖς οὐκ ἐλάττους ἢ τριακοσίας, φόρος δ' ἡμῖν
κατ' ἐνιαυτὸν προσῄει πλέον ἢ χίλια καὶ διακόσια τά-
λαντα, καὶ Χερρόνησον καὶ Νάξον καὶ Εὔβοιαν εἴχομεν,
πλείστας δ' ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστεί-
176 λαμεν. καὶ ταῦτ' ἔχοντες τἀγαθὰ πόλεμον δι' Ἀργείους
πρὸς Λακεδαιμονίους ἐξηνέγκαμεν, καὶ τελευτῶντες ἐκ
τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς φρουρὰν τῆς πόλεως
καὶ τοὺς τετρακοσίους καὶ τοὺς ἀσεβεῖς τριάκοντα ἐνε-
πέσομεν, οὐκ εἰρήνην ποιησάμενοι ἀλλ' ἐκ προσταγμά-
των ἠναγκασμένοι. πάλιν δὲ σωφρόνως πολιτευθέντες,
καὶ τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς, Ἀρχίνου καὶ Θρα-

1. πρὸς Λακεδ. δι' Αἰγιν. W, πρὸς Αἰγιν. C, *cf.* Andoc. 6 — 3. πρὸς i, πρὸς τοὺς C — 6. μὲν *om.* Af — εἰς τὴν ἀκρ. Bi And., εἰς ἀκρ. AM — 8. ᾠκοδομησάμεθα And. — 11. ἐπεχείρησε i — δὲ *om.* l — 13. τμηθῆναι Andoc., νεμηθῆναι *vel* νεμεθῆναι C — 16. εἰς τὴν BiMAnd., εἰς A — 17. πλωΐμους A, πλοΐμους BiM — 18. φόρον l — 20. καὶ i, καὶ τὴν C — 21. τούτοις *om.* gm — 22. ταῦτ' Af And., τοσαῦτ' Bdi — τἀγαθὰ AM, ἀγαθὰ Bi, *cf.* And. 9 — 23. ἐξηνέγκαμεν: *add.* C πεισθέντες ὑπ' Ἀργείων, *ut ex And.* 9 *additum del.* W — 25. τριακοσίους A — ἀσεβεῖς *om.* g — 25. 26. ἐνεσπεύσαμεν el, ἐνεπέσαμεν Mk. — 28. φυλακῆς l.



συβούλου προστάντων τοῦ δήμου καὶ τὸ μὴ μνησικακεῖν
πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων, ὅθεν σο-
φωτάτην πάντες τὴν πόλιν ἡγήσαντο εἶναι, κἀνταῦθα 177
ἀναφύντος τοῦ δήμου καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος
ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ τὸ νο-
σοῦν τῆς πόλεως ἀεὶ προσαγόμενοι καὶ πόλεμον ἐκ πολέ-
μου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προ-
αιρούμενοι καὶ τὰς ψυχὰς τὰς φιλοτίμους καὶ λίαν ὀξείας
ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις ὅπλων οὐχ ἁπτόμενοι,
ἐξετασταὶ δὲ καὶ ἀποστολεῖς γιγνόμενοι, παιδοποιούμενοι
δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δ' ἐκ συκοφαντίας, εἰς τοὺς ἐσ-
χάτους ἡμῶν κινδύνους τὴν πόλιν καθιστᾶσι, τὸ μὲν τῆς
δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν ἀλλὰ τῇ κολακείᾳ
θεραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, ᾗ ἡ δημο-
κρατία σῴζεται, συναγωνιζόμενοι δὲ τοῖς πολέμοις, ἐξ
ὧν ὁ δῆμος καταλύεται. οὗτοι νῦν ἐπ' ἐμὲ συστραφέντες 178
ἥκουσι, καὶ φασὶ μὲν τὸν Φίλιππον τὴν εἰρήνην πρία-
σθαι καὶ προλαβεῖν ἡμῶν ἐν ταῖς συνθήκαις ἅπαντα,
ἣν δ' αὐτὸς εὗρεν εἰρήνην αὑτῷ συμφέρουσαν, ταύτην
παραβεβηκέναι. ἐμὲ δ' οὐχ ὡς πρεσβευτὴν κρίνουσιν,
ἀλλ' ὡς ἐγγυητὴν Φιλίππου καὶ τῆς εἰρήνης· καὶ τὸν
τῶν λόγων κύριον τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι.
τὸν αὐτὸν δὲ ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην ἐπι-
δείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ κέχρημαι. δέ-
κατος δ' αὐτὸς πρεσβεύσας μόνος τὰς εὐθύνας δίδωμι.
κἀμοὶ συνδεησόμενοι πάρεισιν ὑμῶν πατὴρ μέν, οὗ τὰς 179
τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε, ἀδελφοὶ δέ, οἳ δια-

1. 2. προστάντων τοῦ δήμου: πρὸς τὰ τούτων δι' ἡμῶν A, προστατούντων δ' ἡμῶν f — 4. ἀναφύντος A¹Ma, ἀναφθέντος gm — 5. ἄνθρωπος *om.* g — παράγραπτοι g — 6. προσαγαγόμενοι kl — 6. 7. προαιρούμ. Emp., προυρώμεναι C — 9. ἐψάμενοι A — 10. δὲ *om.* l — 11. ἐν συκοφάνταις l — 12. τὸ μὲν Bkk., καὶ τὸ μὲν C — 13. οὐ τοῖς .. κολακείᾳ *del.* Hirschig — 14. ἡ *add.* i — 15. πολέμοις Brodaeus, Vat., πολεμίοις C — 16. νῦν: τοίνυν Af — 18. προσλαβεῖν Afgm — 19. ἑαυτῷ el — 21. φιλίππῳ el — 22. τῶν λόγων AM, τῶν ὅλων i, τῶν ὅλων λόγων B — 23. μὲν *om.* g — 24. δείκνυμι ag — 26. κἀμοὶ II, κἀμοὶ μὲν οἱ C — ἡμῶν fgm — 27. ἐλπ. τοῦ γήρως a.

ζυγέντες ἐμοῦ ζῆν οὐκ ἂν προέλοιντο, κηδεσταὶ δέ, καὶ ταυτὶ μὲν τὰ μικρὰ παιδία καὶ τοὺς κινδύνους οὔπω συνιέντα, ἐλεεινὰ δ᾽, εἴ τι συμβήσεται ἡμῖν παθεῖν. ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν ὑμᾶς πρόνοιαν ποιήσασθαι καὶ μὴ τοῖς ἐχθροῖς αὐτοὺς μηδ᾽ ἀνάν-
180 δρῳ καὶ γυναικείῳ ἀνθρώπῳ παραδοῦναι. παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεούς, δεύτερον δ᾽ ὑμᾶς τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν κατηγορημένων εἰς μνήμην εἶναι τὴν ἐμὴν ἀπολελόγημαι, καὶ δέομαι σῶσαί με καὶ μὴ τῷ λογογράφῳ καὶ Σκύθῃ παραδοῦναι, ὅσοι μὲν ὑμῶν πατέρες ἐστὲ παίδων ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ Τίμαρχον κρίσεως ἀειμνήστως
181 αὐτοὺς παρακέκληκα, τοὺς δ᾽ ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυπον παρέσχημαι, τὴν μὲν τύχην ἰδιώτης ὢν καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ᾽ ὑμᾶς οὐ συνεστηκώς· αἰτῶ παρ᾽ ὑμῶν τὴν σωτηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκὼς καὶ μόνος ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν. οὐ γὰρ ὁ θάνατος δεινόν,
182 ἀλλ᾽ ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά. πῶς γάρ; οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; ἀλλ᾽ ὅμως τετόλμηται· δέδοται τὸ σῶμα τῷ κινδύνῳ. παρ᾽ ὑμῖν ἐτράφην, ἐν ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα. οὐδεὶς ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς κάκιον οἰκεῖ, οὐδὲ ἐστέρηται τῆς πατρίδος

---

1. *προείλοντο* l, *προσέλοιντο* Mk — 2. *τὰ μικρὰ μὲν* M Fritzsche Qu. Luc. 174 — 4. *ὑμᾶς* i, *ἡμῖν* g, *ἡμῶν* x — 5. *αὐτοῖς* g, *αὐτοῦ* Afam — 6. *ἀνθρώπῳ* Aa, *ἀνθρ. τὴν ὀργὴν* gm, *τὴν ὀργὴν ἀνθρ.* M, *τὴν ὁρμὴν ἀνθρ.* i — 10. 11. *λογογράφῳ τῷδε* Thom. 224 — 11. *Σκύθῃ*: *add.* Bi *κακῷ ὄντι* — 12. *ἐστὲ* F, *εἰσὶ* C — 15. *αὐτοὺς om.* kl — 16. *τύχην*: *ψυχὴν* Ad — 20. *μόνος om.* Af — *μείνας* Af — 22. 23. *οὐχ ὁ θάνατος .. φοβερά* Stob. Fl. Mein. IV p. 98 — 23. *φοβερὰ malit abesse* F, *cf.* III 88 — *πῶς γάρ;* W, *πῶς δὲ* C — 26. *κινδύνῳ*: *εὐεργέτῃ* ek, *κινδύνῳ εὐεργέτῃ* B. — *οὐδὲ .. τυχὼν om.* a



κατηγόρου τυχὼν ἐν τοῖς δήμοις, ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις, οὐδ᾽ ὑπεύθυνος ὢν ἀρχῆς ἐκινδύνευσεν.

Μικρὰ δ᾽ εἰπὼν ἤδη καταβαίνω. ἐγὼ γάρ, ὦ ἄνδρες, 183
τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς κύριος ἦν, τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἡ συνεκλήρωσέ με ἀνθρώπῳ συκοφάντῃ καὶ βαρβάρῳ, ὃς οὔτε ἱερῶν οὔτε σπονδῶν οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα αὐτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν ἥκει ψευδῆ συντάξας καθ᾽ ἡμῶν κατηγορίαν. ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς τῆς εἰρήνης καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστάς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους.

Παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ 184
σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ᾽ ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων, ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν ἐμαυτοῦ Ναυσικλέα καὶ τοὺς ἄλλους ἅπαντας οἷστισιν ἐγὼ κέχρημαι καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα. ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται, τὸ δὲ σῶμα τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν καὶ ἐγὼ καὶ ὁ νόμος.

---

1. *ἐν τοῖς δήμοις post οἰκεῖ* gm — *ὅτ᾽ ἦσαν αἱ διαψ.*: *ἃ τῆς ἀναιδείας ψηφίσεις* kl — 2. *ἐκινδύνευσα* agi — 3. *ἄνδρες* d, *ἀθηναῖοι* e, *ἄνδρες ἀθηναῖοι* x — 4. *μὲν om.* kl — 6. *καὶ add.* D — 9. *τὴν εἰρήνην* el — 10. *καὶ τοὺς* A[1] — 14. *ἀνδρῶν om.* Mck — 16. *τῶν ante ἐμαυτοῦ om.* A.

III

# ΑΙΣΧΙΝΟΥ ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ

Conpendia:

A = codices ekl Bekkeri.
$A^h$ = codices eklh Bekkeri.
B = codices agmn Bekkeri.
M = ceteri codices vel Bekkeri vel Schultzii.
C = Codices eklagmn.
x = ceteri codices vel omnes vel plurimi.
Hirsch. = G. A. Hirschigii Annotationes Criticae, Traiecti ad Rhen. 1849.
Herw. = H. Herwerdeni Exercitationes Criticae, Hagae Com. 1862.
West. = A. Westermanni De Locis aliquot orat. att. interpolatione corruptis, Lips. 1859.

Reliqua conpendia idem quod in ceteris orationibus significant.

---

# ΑΙΣΧΙΝΟΥ ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.

Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
τὴν παράταξιν ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν
δεήσεις αἷς κέχρηνταί τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ συν-
ήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω
πρῶτον μὲν τοῖς θεοῖς, ἔπειτα τοῖς νόμοις καὶ ὑμῖν, ἡγού-
μενος οὐδεμίαν ἂν παρασκευὴν μεῖζον ἰσχύειν παρ' ὑμῖν
τῶν νόμων καὶ τῶν δικαίων. ἐβουλόμην μὲν οὖν, ὦ ἄν- 2
δρες Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους καὶ
τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι,
καὶ τοὺς νόμους οὓς ἐνομοθέτησε Σόλων περὶ τῆς τῶν
ῥητόρων εὐκοσμίας ἰσχύειν, ἵνα ἐξῆν πρῶτον μὲν τῷ
πρεσβυτάτῳ τῶν πολιτῶν σωφρόνως ἐπὶ τὸ βῆμα παρελ-
θόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτι-
στα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ τῶν
ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν καὶ ἐν μέρει
περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἂν μοι
δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι αἵ τε κρίσεις ἐλάχισται
γίγνεσθαι. ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα 3
καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως
παρανόμους γνώμας καὶ ταῦθ' ἕτεροί τινες [τὰ ψηφίσματα]

2. ἄνδρες *add.* ek. Harp. 145. Phot. Lex. 329. Suid. s. v. παραγγελία — 4. καὶ συνήθη A, καὶ τὰ συνήθη B — 6. ἔπειτα W, ἔπειτα δεύτερον A, δεύτερον δὲ B — 7. οὐδεμίαν ἂν W, ἂν *om.* C, ἰσχύσειν D — μεῖζον ἰσχ. παρ' ὑμῖν A, ἰσχ. παρ' ὑμῖν μεῖζον B — 8. ἄνδρες *add.* A — Rh. W. IV 421 — 10. ὁ Σόλων C — 12. ἐξῆν Bekk., ἐξῇ C — 13. ante σωφρόνως A *add.*: ὥσπερ οἱ νόμοι προστάττουσι, B ὥσπερ οἱ νόμοι κελεύουσι, *em.* Bake, *cf.* Schol. II 60 — 16. καθ' ἡλικίαν A, καθ' ἡλ. χωρὶς B — 18. ἐλάχιστα e — 20. τέ τινες B — 21. *malim*: καὶ τὰ τοιαῦθ' ἕτεροί τινες ἐπιψηφίζουσιν κτλ., τὰ ψηφίσματα *del.* West.

ἐπιψηφίζουσιν οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες
προεδρεύειν ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἂν δέ
τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ προεδρεύειν καὶ
τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ
τὴν πολιτείαν οὐκέτι κοινὴν ἀλλ' ἤδη ἰδίαν αὑτῶν
ἡγούμενοι ἀπειλοῦσιν εἰσαγγελεῖν, καταδουλούμενοι τοὺς
4 ἰδιώτας καὶ τὰς δυναστείας ἑαυτοῖς περιποιούμενοι,
καὶ τὰς κρίσεις τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι
τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσιν, σε-
σίγηται μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα
[τῶν ἐν τῇ πόλει] „τίς ἀγορεύειν βούλεται" τῶν ὑπὲρ
πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν
ἄλλων Ἀθηναίων, τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι
κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ'
οἱ πρόεδροι οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος
5 τῆς πόλεως. τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν
ὄντων τῇ πόλει τοιούτων ὁποίους τινὰς αὐτοὺς ὑμεῖς
ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας,
εἴ τι κἀγὼ τυγχάνω γιγνώσκων, αἱ τῶν παρανόμων γρα-
φαί. εἰ δὲ καὶ ταύτας καταλύσετε ἢ τοῖς καταλύουσιν
ἐπιτρέψετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς
6 πολιτείας τισὶ παραχωρήσαντες. εὖ γὰρ ἴστε, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅτι τρεῖς εἰσὶ πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώ-
ποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία, διοικοῦνται
δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν
ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νό-
μοις τοῖς κειμένοις. μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω,
ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅταν εἰσίῃ εἰς δικαστή-
ριον γραφὴν παρανόμων δικάσων ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ
μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παρρησίας.

1. ἐκ τοῦ δικ. τρ. *del.* West., *cf.* Suid. s. v. πρυτάνεις — 2. ἐὰν e — 3. ὄντων A — λάχῃ West., λάχῃ κληρούμενος C — 5. κοινὴν οὐκέτι B — ἀλλ' ἰδίαν B — 6. εἰσαγγέλλειν C, *em.* R — 7. καὶ δυναστείας B — περιποιοῦντες B — 8. καὶ *add.* A — μὲν *ante* κρίσεις gmn — 10. μὲν B, δὲ A[h], *fort.* δή — 15. τὸ δέκ. μ. τ. πόλεως *del. cum aliis* West. — 22. ἄνδρες *om.* B, *sicuti fere semper* — 28. ὅτι ὅταν C — 29. ὅτι ἐν W, ἐν C.



διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν
δικαστῶν ὅρκῳ „ψηφιοῦμαι κατὰ τοὺς νόμους," ἐκεῖνό
γε εὖ εἰδώς, ὅτι, ἂν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει,
σῴζεται καὶ ἡ δημοκρατία. ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς 7
μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν ἡγεῖσθαι
μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον
ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδέν' ἐᾶν ἀν-
θρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγο-
ρίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνηγοροῦντές τισι τῶν
ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων
δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν
δικαστηρίων, παράνομον πολιτείαν πολιτευσάμενοι· ἀλλ'
ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν ἣν
ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλι-
πεῖν τὴν τάξιν ἣν τέταχθε ὑπὸ τῶν νόμων, φύλακες τῆς
δημοκρατίας ὄντες τήνδε τὴν ἡμέραν. κἀκεῖνο χρὴ δια- 8
μνημονεύειν, ὅτι νυνὶ πάντες οἱ πολῖται παρακαταθέμενοι
τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες οἱ μὲν
πάρεισι καὶ ἐπακούουσι τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν
ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι καὶ τῶν ὅρκων,
οὓς ὠμόσατε, μεμνημένοι καὶ τῶν νόμων, ἐὰν ἐξελέγξω-
μεν Κτησιφῶντα καὶ παράνομα γεγραφότα καὶ ψευδῆ καὶ
ἀσύμφορα τῇ πόλει, λύετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς πα-
ρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν,
κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις καὶ τῷ ὑμετέρῳ
συμφέροντι πολιτευομένους. κἂν ταύτην ἔχοντες τὴν διά-
νοιαν ἀκούσητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ'
ὅτι καὶ δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς
ψηφιεῖσθε καὶ πάσῃ τῇ πόλει.
Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλ- 9

3. ὅτι ἂν A, ὅτι ὅταν B — 5. 6. ἡγ. μικρὸν εἶναι A, μικρὸν ἡγ. εἶναι g, μικρὸν *om.* amn — — 7. μηδέν' ἐᾶν ἀνθρώπων Askew., μηδένα ἀνθρ. C — 9. συνεργοῦντες B — 11. ἐκ *om.* a — 12. πολιτευόμενοι B — 15. ἐτάχθητε A — 16. ὄντες W, εἰς eklm, *om.* x — κἀκεῖνο δὲ B — 17. νυνὶ πάντες A, νῦν ἅπαντες B — 20. οἰκείων ἔργων a — 22. γράψαντα B — 25. 26. τοῖς νόμοις καὶ τῷ ὑμετέρῳ συμφ. A, τῷ νόμῳ καὶ τῇ πόλει καὶ τῷ συμφ. τῷ ὑμετέρῳ B, *em.* Bake — 27. ἀκούητε A[h] — 28. ὅτι δίκαια B.

πίζω προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων οἳ κεῖνται
περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τυγχάνει γε-
γραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. ἐν γὰρ
τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰ μέγιστα τῶν
ἐν τῇ πόλει καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωρο-
δοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε
ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ δήμου
πόρρωθεν προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις καὶ
κηρύγμασιν, ὥστ' ἐν ταῖς εὐθύναις εἰς τὴν μεγίστην μὲν
ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλ-
10 λον τοὺς δικαστάς. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπ'
αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξε-
λεγχόμενοι διεφύγγανον ἐκ τῶν δικαστηρίων, εἰκότως.
ᾐσχύνοντο γὰρ οἶμαι οἱ δικασταί, εἰ φανήσεται αὐτὸς
ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ
ἐνιαυτῷ, πρῴην μέν ποτε ἀναγορευόμενος ὅτι στεφα-
νοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου
χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν
ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας
ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικα-
σταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος ἀλλ' ὑπὲρ τῆς
11 αἰσχύνης τοῦ δήμου. κατιδὼν δέ τις ταῦτα τίθησι νόμον
καὶ μάλα καλῶς ἔχοντα, τὸν διαρρήδην ἀπαγορεύοντα τοὺς
ὑπευθύνους μὴ στεφανοῦν. καὶ ταῦτα οὕτως εὖ προκατ-
ειληφότος τοῦ νομοθέτου εὕρηνται κρείττους τινὲς τῶν
νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες.
τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων οἱ

2. τὸ ψηφ. τοῦτο B — 4. 5. τὰ μέγιστα τῶν ἐν τῇ πόλει W., μεγίστας ἀρχὰς ἐν τῇ πόλει A, τὰς ἀρχὰς ἐν τῇ πόλει μεγίστας $h^1$, τὰς μεγίστας ἐν τῇ πόλει ἀρχὰς $h^2$, τὰς μεγίστας ἀρχὰς B, Rh. W. IV 512 — 5. καὶ τὰς *om.* h — 6. τε *om.* A — 9. *post* εὐθύναις *add.* τῶν ἀρχῶν A, τῶν ἀρχόντων B — μὲν *om.* el, *del.* Bake — 11. τῶν ὑπευθύνων *del.* Bake — 13. ἐκ B, ἀπὸ A — 14. αἰσχύνονται el, *defendit* Bake — αὐτὸς W, αὐτὸς A, ὁ αὐτὸς B — 16. ἐν τοῖς ἀγῶσιν ὅτι C, *em.* D — 20. 21. οἱ δικασταὶ *nescio an delendum videatur* (D) — 22. νομοθέτης τίθησι C, *cf.* Rh. W. IV 512 — 23. διαγορεύοντα A — 24. οὕτως *om.* a — 25. κρείττους τινὲς W, λόγοι κρείττονες A, κρείττους λόγοι h, κρείττονες λόγοι B — 27. στεφ. παρὰ τοὺς νόμους C.



μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τις μέτριος τῶν τὰ πα-
ράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ
τῆς αἰσχύνης. προσγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα
στεφανοῦν τὸν ὑπεύθυνον, ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς
ἀρχῆς δῷ. καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται· προ- 12
καταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὔθυναι·
ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν ὅτι
γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε.
Κτησιφῶν δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπερπηδήσας τὸν
νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον καὶ τὴν πρό-
φασιν ἣν ἀρτίως προεῖπον ὑμῖν ἀνελών, πρὶν λόγον πρὶν
εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα
στεφανοῦν.
Λέξουσι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτερόν τινα λό- 13
γον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα, ὅσα τις
αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχὴ
ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν
ἐκείνας τ' εἶναι ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ
Θησείῳ, κἀκείνας ἃς ὁ δῆμος χειροτονεῖ ἐν ἀρχαιρεσίαις,
στρατηγοὺς καὶ ἱππάρχους καὶ τὰς μετὰ τούτων ἀρχάς,
τὰς δ' ἄλλας ταύτας πραγματείας προστεταγμένας κατὰ
ψήφισμα. ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς τούτων νόμον 14
ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε λύσειν
ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαρρήδην γέ-
γραπται· „τὰς χειροτονητάς“ φησιν „ἀρχὰς“ ἁπάσας ἑνὶ
περιλαβὼν ὀνόματι καὶ προειπὼν ἀρχὰς ἁπάσας εἶναι
ἃς ὁ δῆμος χειροτονεῖ, „καὶ τοὺς ἐπιστάτας“ φησὶ „τῶν
δημοσίων ἔργων·“ ἔστι δὲ ὁ Δημοσθένης τειχοποιός,
ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων· „καὶ πάντας ὅσοι

1. εἰ δή τις μέτριος e, εἰ δή τις ἔστι μέτριος kl, εἰ δή τις ἔστι μέτριος ἐπὶ Bh — τὰ *om.* kl — 3. προσγράφουσι Bake, προσεγγρ. C — πρὸς τὰ ψηφ. *del.* D — 5. προκαταλ. .. εὔθυναι *del.* West. — 8. γέγραφε ekg[1], γεγράφει amn, ἐγεγράφει l — 10. ὑπὲρ kh — 11. ἣν A, ἣν ἐγὼ B — 14. ἕτερον el, καὶ ἑτερ. x, *cf.* I 121 — τινα *om.* a — 18. τ' *add.* W — ἀποκλ. οἱ θεσμ. k — 19. χειροτονεῖ A, εἴωθε χειροτονεῖν B — 20. *Totum hunc versum del.* West. — ταῦτα amnh[1] — 26. ὀνόματι: *add.* C ὁ νομοθέτης, *del.* W — προειπὼν W, προσειπὼν C — 28. καὶ ὁ l — 29. πάντες e.

διαχειρίζουσί τι τῶν τῆς πόλεως πλεῖν ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων·“ οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικα-
15 στηρίου· τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, [ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι], καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς. ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους ὑμῖν αὐτοὺς ἀναγνώσεται.

### ΝΟΜΟΙ.

16 Ὅταν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει οὗτοι προσαγορεύωσι πραγματείας καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον ἄνθρωπον καὶ σοφιστὴν οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφὼς τοσούτῳ μείζονος ὀργῆς τεύξεται. χρὴ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

17 Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν. λέξει γὰρ οὕτως· „τειχοποιός εἰμι, ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατὸν καὶ τὸ ἔργον μεῖζον ἐξείργασται. τίνος οὖν εἰμι ὑπεύθυνος; εἰ μή τις ἐστὶν εὐνοίας εὔθυνα.“ πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια

1. πλεῖν Co., πλέον C — 5. 6. *Quae seclusi del.* West. — 7. ἐγγράφει e, γράφειν n — 9. *post* ἀρχάς *add.* κελεύει C, *em.* Co. — ὑμῖν αὐτοὺς A, αὐτοὺς ὑμῖν B, ὑμῖν *om.* n — 10. ἀνάγνωτε A — 12. 13. ἃς ὁ νομ. ἀρχ. ὀνομάζει οὗτοι προσαγ. A, ὁ μὲν νομ. ἀρχ. ὀνομάζῃ οὗτοι δὲ προσαγ. B — 13. προσαγορεύσωσι l — 16. 17. κακοῦργον ἄνθρωπον καὶ σοφιστὴν W, κακ. καὶ σοφ. el, κακοῦργον σοφ. Bk — 18. ὅσα amn — 19. . . 23. Rhet. Sp. III 28 — 24. Rhet. Sp. III 16 — 25. προσειπεῖν B *praeter* g — οὕτως e, οὗτος R — 27. ἐξείργασμαι a.



καὶ ὑμῖν συμφέροντα. ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τοσαύτῃ τὸ μέγεθος οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων. διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς 18
ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα μόνον λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας. πάλιν τοὺς τριηράρχους ὑπευθύ- 19
νους εἶναι κελεύει ὁ νόμος οὐ τὰ κοινὰ διαχειρίζοντας οὐδ' ἀπὸ τῶν ὑμετέρων πολλὰ μὲν ὑφαιρουμένους βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. οὐ τοίνυν μόνοι οἱ τριήραρχοι ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχεται ψῆφον. πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν 20
ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας, τὸν ἀεὶ σκυθρωπὸν καὶ τῶν μεγίστων κύριον ἄγων ὑπὸ τὴν ὑμετέραν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριον αὐτοῖς. οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε, ἀλλ' οὐκ ἀγαπῶσιν ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι. πάλιν τὴν βουλὴν τοὺς πεντακοσίους ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης. καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ 21

1. ὑμῖν *om.* a, *ante* καὶ *ponit* gmn — εὖ γὰρ kl — 2. τοσαύτῃ A, τηλικαύτῃ B — 3. καὶ *om.* l — 7. τὰ γέρα: τὰ ἱερὰ H — μόνα agm[2] — 8. ἡμῶν a — 9. κατὰ γένη hm[2] — 11. διαχειρίζοντας Bake, διαχειρίσαντας C — 12. τῶν ὑμετέρων Bake, τῶν ὑμ. προσόδων C — 13. κατεθέντας A[b] — ἐπιδιδόναι τε Bake — 14. τοὺς τὰς A[b], *natum ex* ὁμολογουμένως[ους] τὰς — 17. δικαστῶν kl — 20. 21. εὐθύνας, τὸν ἀεὶ σκυθρωπὸν καὶ τῶν μεγ. κύριον ἄγων W, εὐθύνας διδόναι *ceteris usque ad* ὑπὸ *omissis* A[b], εὐθ. διδόναι, καὶ τῶν ἐκεῖ σκυθρωπῶν κ. τ. μ. κύριον ἄγειν B — 23. αὐτοῖς W, ἐστιν αὐτοῖς A, αὐτοῖς ἐστίν B — 27. ἀπαιτεῖ τοὺς ὑπευθύνους egmn.

τοῖς ὑπευθύνοις, ὥστ᾽ εὐθὺς ἀρχόμενος τῶν νόμων λέγει· „ἀρχὴν ὑπεύθυνον“ φησὶ „μὴ ἀποδημεῖν.“ ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα μὴ ἀποδημήσω; ἵνα γε μὴ προλαβὼν ἢ χρήματα τῆς πόλεως ἢ πράξεις δρασμῷ χρήσῃ. πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν οὐδὲ ἀνάθημα ἀναθεῖναι οὐδ᾽ ἐκποίητον γενέσθαι οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ οὐδ᾽ ἄλλα πολλά· ἑνὶ δὲ λόγῳ ἐνεχυράζει ὁ νομοθέτης τὰ τῶν ὑπευθύνων, ἕως ἂν λόγον
22 ἀποδῶσι τῇ πόλει. ναὶ ἀλλ᾽ ἔστι τις ἄνθρωπος ὃς οὔτ᾽ εἴληφεν οὐδὲν τῶν δημοσίων οὔτ᾽ ἀνήλωκε, προσῆλθε δὲ πρός τι τῶν κοινῶν. καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς. καὶ πῶς ὅ γε μηδὲν λαβὼν μηδ᾽ ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν ὅτι „οὔτ᾽ ἔλαβον οὐδὲν τῶν τῆς πόλεως οὔτ᾽ ἀνήλωσα.“ ἀνεύθυνον δὲ καὶ ἀζήτητον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει. ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε τῶν νόμων.

## ΝΟΜΟΙ.

23 Ὅταν τοίνυν [μάλιστα] θρασύνηται Δημοσθένης λέγων ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε· „οὐκ οὖν ἐχρῆν σε, ὦ Δημόσθενες, ἐᾶσαι τὸν τῶν λογιστῶν κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τουτί· τίς βούλεται κατηγορεῖν; ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν, ὡς οὐκ ἐπέδωκας ἀλλ᾽ ἀπὸ πολλῶν ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας· μὴ ἅρπαζε τὴν φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν,

1. εὐθὺς A, εὐθέως B — τῶν νόμων *suspectum est* — 2. ἀρχὴν *del.* H. — 3. γε *om.* l — 4. ἢ *add.* W — 7. ἐνεχυριάζει A[h] — 8. τὰ τῶν W, τὰς οὐσίας τὰς τῶν A, τὰς οὐσίας *ante* ὁ νομοθ. B, τὰς *ante* τῶν *om.* klh — 9. ἀποδιδῶσι e — 11. τι — πρὸς *om.* a — 14. ἃ χρὴ γράφειν *del.* H, *fort.* γράφειν *delendum* — 16. ἀνυπεύθυνον A — καὶ ἀζήτητον W, καὶ ἀζήτητον καὶ ἀνεξέταστον A, καὶ ἀνεξ. καὶ ἀζ. B, *cf.* Harp. 7 Thom. Mag. 23 — 17. 18. τῶν νόμων B, τῶν ἐν τῇ πόλει A — 20. μάλ. *del.* W — 24. τουτί W, τούτου amnh² — τοῦτο Ag — 26. ἀπὸ *om.* ek — εἶχες Bake — 27. *Post* κατέθηκας *add.* C: δέκα τάλαντα εἰς (*om.* M) ταῦτα ἐκ τῆς πόλεως (πολιτείας el) εἰληφώς, *del.* W.



μηδὲ πρόσθε τῶν νόμων ἀλλ᾽ ὕστερος πολιτεύου. ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν.“

Πρὸς μὲν οὖν τὰς κενὰς προφάσεις ἃς οὗτοι προ- 24
φασιοῦνται μέχρι δεῦρο εἰρήσθω μοι· ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης ὅθ᾽ οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῷ θεωρικῷ ἀρχὴν ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν οὐδ᾽ εὐθύνας δεδωκώς, ταῦτ᾽ ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. καί μοι ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος καὶ ποίου μηνὸς καὶ ἐν τίνι ἡμέρᾳ καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης τὴν ἀρχὴν τὴν ἐπὶ τῷ θεωρικῷ.

## ΨΗΦΙΣΜΑ.

Οὐκοῦν εἰ μηδὲν ἔτι περαιτέρω δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμὴ ἀλλὰ τὰ δημόσια γράμματα.

Πρότερον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντιγρα- 25
φεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ᾽ ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν ὑμῖν οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι ἦρχον μέν, πρὶν τὸν Ἡγήμονος νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχὴν ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν, καὶ νεωρίων τ᾽ ἐπεμέλοντο καὶ σκευοθήκην ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοὶ καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. καὶ οὐ κατηγορῶν αὐ- 26
τῶν οὐδ᾽ ἐπιτιμῶν λέγω, ἀλλ᾽ ἐκεῖνο ὑμῖν ἐνδείξασθαι

1. μηδὲ πρόσθε W, μηδ᾽ ἔμπροσθεν C — 3. κενὰς Steph., κοινὰς C — 4. δεῦρο AB, *nisi quod* τοῦδε a — 7. πω *om.* A — τούτων τῶν ἀρχῶν l — 8. ὑμῖν λόγον e, *fort. pronomen delendum* — 12. τῶν θεωρικῶν C, *em.* M; *deinceps in* B, *non in* A, *additur:* ὅτι μεσοῦντα τὴν ἀρχὴν ἔγραψεν αὐτὸν στεφανοῦν· ἀναγίνωσκε. *In* k *hoc emblema ab margine adscriptum est.* — 13. ψήφισμα e, *om.* Bk, ὁ διαλογισμὸς τῶν ἡμερῶν lk (*margine*) — 14. περαιτέρω W, τούτου περ. A, περ. τούτου B — 15. αὐτὸν *om.* a — 17. πότερον l, πρῶτον B — ὦ α. Ἀ *om.* A — 18. τῇ πόλει χειρ. a — 20. τῷ θεωρικῷ e, *recipiendum censet* Bake — 21. πρὶν n, πρὶν ἢ x — τὸν: τοῦ el — ἡγεμόνος kn, ἡγεμῶνος l — 22. νόμου el — γραφέως A — 23. καὶ νεωρίων τ᾽ ἐπεμέλοντο W *ex* Schol., καὶ νεωρίων ἀρχὴν C.

βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ πρὶν ἂν λόγον καὶ εὐθύνας δῷ στεφανοῦν, ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

27 Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν ὅθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε καὶ ἐπιβολὰς ἐπέβαλλε καθάπερ οἱ ἄλλοι ἄρχοντες, τούτων ὑμῖν αὐτὸν Δημοσθένην μάρτυρα παρέξομαι. ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος θαργηλιῶνος δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης ἔγραψε Δημοσθένης ἀγορὰν ποιῆσαι [τῶν φυλῶν] σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων περὶ τὰ τείχη καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχοι ὑπεύθυνα σώματα, παρ' ὧν ἔμελλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι. καί μοι λέγε τὰ ψηφίσματα.

## ΨΗΦΙΣΜΑΤΑ.

28 Ναὶ ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθὺς ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου. καὶ περὶ τούτου Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δέ γε νόμος βραχὺς καὶ σαφὴς καὶ ταχὺ λύων τὰς τούτων τέχνας. μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν
29 προειπεῖν βούλομαι. ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία, ὧν ἓν μὲν καὶ φανερώτατον οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες, δεύτερον δὲ ὅσοι τι

4. ἁπάσας *om.* A — 8. ἄλλοι *om.* A — 8. 9. *Post* ἄρχοντες *add.* C: καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, *del.* W — τοῦτον hk — 9. Δημ. μάρτυρα H, Δημ. μάρτυρα καὶ Κτησιφῶντα A, Δημ. καὶ Κτησιφῶντα μάρτυρας B — 10. θαργηλιῶνος W, μηνὸς θαργ. A, θαργ. μηνὸς B — 11. ἔγραψε $\mathrm{A^b}$, ἔγρ. ψήφισμα B — ἀγορὰς Bake — 12. *mihi* τῶν φυλῶν *suspectum est* — 13. ἑκάστῃ R — 14. ἐπιμεληθησομένους Aa — περὶ W, ἐπὶ C, *vitium natum ex conpendiis* π π — 15. ἔχοι k, ἔχῃ x — 16. ἀναλωμάτων e — 19. ναὶ *om.* e — εὐθέως Be — λέγων ὡς B — 22. 23. βραχῆ καὶ σαφῆ καὶ ταχὺ λύοντα (κωλύοντα h) $\mathrm{A^b}$, *nondum persanatum est* — 24. προειπεῖν W, πρῶτον προειπεῖν C, *vitium ex dittographia natum* — ὦ ἀθην. C — 25. καὶ πᾶσι φαν. A.



διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας, τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι καὶ τούτους ἄρχειν δοκιμασθέντας. ἐπειδὰν δ' ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ 30
δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπονται οὓς αἱ φυλαὶ καὶ αἱ τριττύες καὶ οἱ δῆμοι ἐξ αὐτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν. τοῦτο δὲ γίγνεται, ὅταν ὥσπερ νῦν ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι ἢ τριήρεις ναυπηγεῖσθαι. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.

## ΝΟΜΟΙ.

Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ 31
μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοικήσεως εἰς ταῦτα ἔχει μικροῦ δεῖν δέκα τάλαντα, ἕτερος δ' ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν οὐ προσθεὶς „ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας,“ ἐγὼ δὲ ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος. πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παράνομα γεγραφότα;

Ὡς τοίνυν καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανό- 32
μως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, καὶ τοῦθ' ὑμᾶς διδάξω. ὁ γὰρ νόμος διαρρήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι,

1. *Post* ἡμέρας *add.* C: καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται, *del.* W — 2. οἵ τινες kl — 4. ἀφέληταί B — ἀπὸ e — 6. καταλείπονται A, *nisi quod* καταλίπονται l, καταλίπωνται B — ὡς αἱ A — — 7. αὐτῶν W, αὑτῶν e, ἑαυτῶν x — *post* διαχειρ. *add.* C: τούτους αἱρετοὺς ἄρχοντας εἶναι, *del.* Scheibe — 12. δὲ el — 16. δεῖν B, δ' εἰπεῖν $\mathrm{A^h}$ — 17. στεφανοῦν .. ὑπεύθυνον *om.* A — 19. οὐ A, μὴ B — 20. ἐξελέγχω Steph. Vat., ἐξελέγξω C, *nisi quod* ἐλέγχω l, ἐλέγξω gu — 23. παρανομώτατα B — 26. ταῦθ' el — 28. στεφανοῖ *post* βουλὴ e, στεφανῇ mn.

ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ. καί μοι λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

33 Οὗτος ὁ νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ γάρ, οἶμαι, ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ μὲν οὖν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; ἀναγίγνωσκε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

34 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ ἐν τῇ ἐκκλησίᾳ ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, Κτησιφῶν δὲ οὐκ ἐν Πυκνὶ ἀλλ' ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόνον ὑπερβὰς ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ τραγῳδῶν γιγνομένων, οὐδ' ἐναντίον τοῦ δήμου ἀλλ' ἐναντίον τῶν Ἑλ-
35 λήνων, ἵν' ἡμῖν συνειδῶσιν οἷον ἄνδρα τιμῶμεν. οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. οὗτοι γάρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν, ἐποίσουσι δὲ εἰς ἀπολογίαν τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ
36 κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇδε τῇ γραφῇ, καὶ λέξουσιν ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μέν, ὃν νῦν ἐγὼ παρέξομαι, διαρρήδην ἀπαγορεύων τὸν

1. οὐδαμοῦ el — 5. δεινὸν ὁ k — 8. οὖν *om.* n — 12. πυκνὶ amnh², πνυκὶ x — 14. ὁ δὲ Κτησ. A — ἐν *add.* F — οὔτε el — οὐκ ἐν Πυκνὶ ἀλλ' *add.* W — 16. γιγνομένων A, ἀγωνιζομένων καινῶν B, *fort.* εἰσιόντων *legendum* — 24. ἐποίσουσι W, οἴσουσι C — εἰς e, εἰς τὴν x — 27. τῇ γραφῇ τῇδε B, *fort. utrumque delendum.*



ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι φήσουσιν ἐναντίον τούτῳ, δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάρρησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συν- 37
ηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν ὥστ' ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ προστάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; ἀλλ' οὔτ' ἔχει ταῦθ' οὕτως, μήθ' ὑμεῖς ποτε εἰς τοσαύ- 38
την ἀταξίαν τῶν νόμων προβαίητε, οὔτ' ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαρρήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους εἴ τις ἀναγέγραπται ἐναντίος ἑτέρῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ που εἰσὶ [νόμοι] πλείους ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως. κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν 39
σανίσιν ἐκτιθέναι κελεύει πρόσθε τῶν ἐπωνύμων, τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέταις, τὸν δ' ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ [καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ καταλείπειν], ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους περὶ ἑκάστης πράξεως. καί μοι λέγε τοὺς νόμους.

1. εἶναι νόμον C, *em.* W — 2. τὸν δεδωκότα C, *em.* W — 9. ἡμῶν e — 14. ἀλλ' οὔτ' W, ἀλλ' οὐκ C — μήθ' M, μὴ AB — 15. οὔτε C — εἰ μέλλοιτε e — 20. ἐναντίος W, ἐναντ. νόμος A, νόμος ἐναντ. B — ἑτέρῳ W, ἑτέρῳ νόμῳ C — 21. πλείους Usener, πλείους ἑνὸς C, *cf.* Prisc. XVIII 270 — 23. πρόσθε k, πρόστε e, πρόσθεν x — 24. νομοθέταις D, νομοθέτας C — 26. καὶ τοὺς μὲν .. καταλείπειν *del.* H — 27. περὶ *om.* B

## ΝΟΜΟΙ.

40 Εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀληθὴς ὁ παρὰ τού-
των λόγος καὶ ἦσαν δύο νόμοι περὶ τῶν κηρυγμάτων, ἐξ
ἀνάγκης οἶμαι τῶν μὲν θεσμοθετῶν ἐξευρόντων τῶν δὲ
πρυτάνεων ἀποδόντων τοῖς νομοθέταις ἀνῄρητ᾽ ἂν ὁ ἕτε-
ρος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν ἢ
ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται, φανε-
ρῶς δή που ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες ἀλλὰ
41 καὶ παντελῶς ἀδύνατα γενέσθαι. ὅθεν δὲ τὸ ψεῦδος
τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς προειπὼν ὧν ἕνεκα
οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμά-
των. γιγνομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν ἀνεκήρυτ-
τόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦν-
ται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ᾽ ὅτι ὑπὸ τῶν δημοτῶν·
ἄλλοι δέ τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίε-
42 σαν ἐλευθέρους, μάρτυρας τοὺς Ἕλληνας ποιούμενοι. ὃ
δ᾽ ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς
ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι ὅτι στεφανοῖ
αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων
[ἢ καὶ ἄλλης τινὸς πόλεως] ἀρετῆς ἕνεκα καὶ ἀνδραγα-
θίας. καὶ ταῦτ᾽ ἔπραττον οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς
τῆς ὑμετέρας στεφανούμενοι ἢ ὑπὸ τοῦ δήμου, πείσαντες
ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι,
43 ἀλλ᾽ αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου. ἐκ δὲ
τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς καὶ τοὺς
χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνα-
κηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς τιμᾶσθαι τῶν

2. ἀληθὴς W, ἦν ἀλ. A, ἀλ. ἦν B — 3. δύο νόμοι W, δύο νόμοι κείμενοι A, δύο κείμενοι νόμοι B — 4. οἴομαι B — 5. ἀποδιδόντων B — 7. γένηται B — 8. ἐλέγχονται e — 9. ὅθεν δὲ W, ὅθεν δὲ δὴ C — 11. ἐξετέθησαν a — τῷ *om.* A — 13. οὐ πείσαντες τὸν δῆμον *del.* Hirsch. — 14. ὅτι *add.* Co — 15. δὲ *om.* A — 15. 16. ἀφίεσαν ἐλευθέρους Co., ἀφίεσαν (ἀφεῖσαν A) ἀπελευθέρους C. *Adiectivum del.* Dindorf — 16. *post* μάρτ. *add.* B τῆς ἀπελευθερίας, *quod in* A *post* Ἕλληνας *positum est, del.* Co — 17. εὑρ. τινὲς A — 20. ἢ καὶ .. πόλεως *del.* W, τινὸς ἄλλης A — ἕνεκα ἀρετῆς B — 21. οἱ *om.* B — 23. καὶ μ. ψηφ. *del.* Herw., *sed. cf.* Dem. 59, 18 — 25. συμβαίνει el — καὶ τοὺς χορηγοὺς *om.* el — 27. τιμαῖς *om.* B



ὑπὸ τοῦ δήμου στεφανουμένων. τοῖς μὲν γὰρ ἀπεδέ-
δεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν στεφανοῦσθαι, καὶ
ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύ-
οντο ἐναντίον ἁπάντων τῶν Ἑλλήνων. συνιδὼν δή τις 44
ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ
περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύ-
σας ἐκεῖνον· οὐ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέα-
τρον· οὔτ᾽ ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς·
οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέ-
ρου στεφανουμένων ὑπὸ τῶν δημοτῶν καὶ περὶ τῶν
τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν
στεφάνων, καὶ διαρρήδην ἀπαγορεύει μήτ᾽ οἰκέτην
ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ μήθ᾽ ὑπὸ τῶν δημοτῶν
ἀναγορεύεσθαι στεφανούμενον, μηδ᾽ ὑπ᾽ ἄλλου φησὶ
μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. ὅταν οὖν ἀποδείξῃ 45
τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις τὸ βουλευ-
τήριον ἀναρρηθῆναι, τοῖς δ᾽ ὑπὸ τοῦ δήμου [στεφα-
νουμένοις] τὴν ἐκκλησίαν, τοῖς δ᾽ ὑπὸ τῶν δημοτῶν
[στεφανουμένοις] ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τρα-
γῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγ-
ματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δ᾽ ἐν τῷ
νόμῳ μηδ᾽ ὑπὸ ἄλλου μηδενός, — ὅταν δέ τις ταῦτα
ἀφέλῃ, τί τὸ καταλειπόμενόν ἐστι πλὴν οἱ ξενικοὶ στέ-
φανοι; ὅτι δ᾽ ἀληθῆ λέγω, σημεῖον ὑμῖν τούτου ἐξ αὐ- 46
τῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν στέ-
φανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναρρηθῇ, ἱερὸν

4. ἐναντίον Co, ἐνώπιον C — *post* Ἑλλήνων *add.* C: κἀκεῖνοι μὲν μετὰ ψηφίσματος, πείσαντες ὑμᾶς, οὗτοι δ᾽ (οἱ δ᾽ A) ἄνευ ψηφίσματος, *del.* W — συνειδὼς A — δέ A — 5. μηδὲν gmn — τῷ *om.* a — 6. περὶ *om.* Aa — 7. οὐ A, οὐδὲ B, *ex dittogr. natum* — ἠνωχλεῖτο eB, ἐνωχλεῖτο kl — 8. τίθησιν A — 10. ὑπὸ τῶν δημοτῶν W, ὑπὸ τῶν δημ. καὶ τῶν φυλετῶν A, ὑπὸ τῶν φυλ. καὶ δημ. B — 13. φυλετῶν ἢ δημοτῶν C — 14. μηδ᾽ S, μηθ᾽ C — 15. κηρύξαντα kl — 16. τὸ Usener, εἰς τὸ C — 17. 18. 19. στεφανουμένοις *bis del.* Co — 18. τὴν Us., εἰς τὴν C — 19. καὶ φυλετῶν ἀπείπῃ C — 22. μηθ᾽ e — *Post* μηδενὸς *add.* C: ἀνακηρύττεσθαι, ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν, *del.* Taylor et H — 23. ἀφέληται B — 24. σημεῖον ὑμῖν W. σημεῖον ὑμῖν μέγα A. μέγα σημ. ὑμῖν B.

εἶναι τῆς Ἀθηνᾶς κελεύει ὁ νόμος, ἀφελόμενος τὸν
στεφανούμενον. καίτοι τίς ἂν ὑμῶν τολμήσειε το-
σαύτην ἀνελευθερίαν καταγνῶναι; μὴ γὰρ ὅτι πόλις,
ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδὲ εἷς οὕτως ἀγεννὴς γένοιτο,
ὥστε ὃν ἂν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν
καὶ ἀφαιρεῖσθαι. ἀλλ' οἶμαι διὰ τὸ ξενικὸν εἶναι τὸν
στέφανον καὶ ἡ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλο-
τρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος
47 χείρων γένηται τὴν ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ
ἐκκλησίᾳ στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆ-
σθαι, ἵνα μὴ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχον-
τες ἐν τῇ οἰκίᾳ ἀεὶ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυ-
χὴν εἰς τὸν δῆμον γίγνωνται. καὶ διὰ τοῦτο προσέθηκεν
ὁ νομοθέτης μηδὲ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον,
ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ
τῶν ὑμετέρων στεφανοῦν πρέσβεις πέμψασα δεηθῇ τοῦ
δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφα-
νούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. ὅτι δ' ἀληθῆ
λέγω, αὐτῶν τῶν νόμων ἀκούσατε.

## ΝΟΜΟΙ.

48 Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσ-
γέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίση-
ται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβάλλειν· ναὶ εἴ
γε σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων,
ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γίγνεσθαι, ἀπεί-
ρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ

1. *κελεύει ὁ νόμος* Bl, *ὁ νόμος κελεύει* ek — 3. *καταγνῶναι* W, *τοῦ δήμου τῶν* (*τοῦ* ek) *Ἀθηναίων καταγν.* A, *καταγν. τοῦ δήμου τῶν Ἀθ.* B — *πολίτης* el — 4. *οὐδεὶς* a — *γένοιτο ἀγεννὴς* a — 5. *ἂν add.* e — *ἅμα καὶ* gm — 6. *ἀφαιρ.* W, *ἀφαιρ. καὶ καθιεροῦν* C — 7. *ἱέρωσις* A — 8. *ἔννοιαν* e — 10. *στέφανον* W, *ἀναρρηθέντα στέφ.* A, *στέφ. ἀναρρ.* B — 11. *καὶ οἱ ἐξ αὐτοῦ, ἐκεῖνο* Bake — 12. *ἀεὶ* W, *τὸ* Aag, *τι* mu, Bake *τὸ del.* — 14. *μηδὲ* W, *μήτε* A, *μὴ* B — *post στέφανον add.* C: *ἐν τῷ θεάτρῳ, del.* W — 15. *πολιτῶν τινα τῶν ὑμετέρων* H, *fort. τινὰ τῶν ὑμετέρων ῥητόρων, nisi haec sententia nimis angusta videretur* — 18. *Post ὑμῖν add.* C: *ἢ τοῖς στεφανοῦσιν, sustulit* H. Wolf — 19. *αὐτῶν om.* A, *post νόμων add.* B — 21. *προγέγραπται* Bl — 23. *ὑπομνημονεύετε* A — 24. *ὁ Ἀθ. δῆμος* l — 25. *ἀποδέδεικτό* B — *γενέσθαι* B.



„ἄλλοθι δὲ μηδαμοῦ" ὅ τι ἔστιν, ὅλην τὴν ἡμέραν λέγε·
οὐ γὰρ ἀποδείξεις, ὡς οὗτος ἔννομα γέγραφεν.
Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ 49
μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις, δι' ἣν
αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψη-
φίσματι· „καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ
πρὸς τοὺς Ἕλληνας ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ
Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας," καὶ τὸ μέ-
γιστον· „ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ
δήμῳ." ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος 50
γίγνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δή
που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι,
ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς
οὔτ' ἤρξατο οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα
τῷ δήμῳ. κἂν τοῦτ' ἐπιδείξω, δικαίως δή που τὴν
γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύου-
σιν οἱ νόμοι μηδένα ψευδῆ γράφειν ἐν τοῖς δημοσίοις
ψηφίσμασι. τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δει-
κτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί.
ἔχει δ' οὕτως.
Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν 51
μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ
νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γρα-
φὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πά-
γον Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα ἑαυτῷ,
καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ τὴν Κηφι-
σοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς 52
Ἑλλήσποντον, ὅτε εἷς ὢν τῶν τριηράρχων καὶ περιάγων
τὸν στρατηγὸν καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπέν-

1. *δὲ om.* a — *τὴν om.* el — 2. *οὗτος add.* W — *γέγραφεν* A, *γέγραφας* B — 7. 8. *ὁ Ἀθην.* W, *ὁ τῶν Ἀθην.* C — 9. *καὶ λέγων* A — *τῷ δήμῳ τὰ ἄριστα* A — 12. *ὑποδεικνύναι* e — 14. *ἤρξατο: add.* C *λέγειν τὰ βέλτιστα* — 17. *ψευδῆ* l, *ψευδῆ γράμματα* x — *γράφειν* el, *ἐγγράφειν* Bk, *cf.* Rh. W. IV 725. VII 1275 — 21. *τοῦ Δημ.* en — 23. *αὐτῷ γραφὴν* e — 25. *Δημομέλη* l, *em.* S, *cf.* 2, 93 — *Παιανιέα* C, *cf.* Didym. Schmidt 317 — *ὄντα ἑαυτῷ om.* l — 27. *εἰς τὸν* el — 28. *τριηράρχων: add.* C *Δημοσθένης* — *καὶ περιάγων τὸν στρατηγὸν* Bk, *καὶ στρατηγῶν* el, *add.* C *ἐπὶ τῆς νεώς, del.* W, *cf.* Dem. 1222, 28.

δων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος
εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου
περὶ θανάτου κατήγορος γενέσθαι· καὶ ταῦτ' ἤδη τὰ
περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρ-
χήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα
τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτο-
53 νίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου. ταῦτα
μὲν οὖν μοι δοκῶ καὶ τἆλλα τὰ τούτοις ὅμοια ὑπερβή-
σεσθαι, οὐ προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζό-
μενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαν-
τήσῃ τὸ δοκεῖν ἀληθῆ μὲν λέγειν, ἀρχαῖα δὲ καὶ λίαν
ὁμολογούμενα. καίτοι, ὦ Κτησιφῶν, ὅπου τὰ μέγιστα τῶν
αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν,
ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν ἀλλὰ παλαιὰ
καὶ λίαν προωμολογημένα, πότερ' αὐτὸν δεῖ χρυσῷ στε-
φάνῳ στεφανωθῆναι ἢ ἐκβεβλῆσθαι; καὶ σὲ τὸν τὰ παρά-
νομα τολμῶντα γράφειν πότερα χρὴ καταφρονεῖν τῶν δι-
καστηρίων ἢ δίκην τῇ πόλει διδόναι;
54 Περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σα-
φέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθέ-
νην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι
πρὸς ὑμᾶς ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται
καιροὶ ἐν οἷς αὐτὸς πεπολίτευται. ὧν ἕνα μὲν καὶ πάν-
των πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν
χρόνον ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολε-
μοῦμεν· τοῦτον δ' ἀφορίζεται τῇ γενομένῃ εἰρήνῃ καὶ
συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ αὐτὸς
55 οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω. δεύτερον δέ φησι γε-

---

1. αὐτῶν A — 3. καὶ ταῦτα ἤδη C, ἢ ταῦτα ἤδη R — 11. ἀληθῆ μὲν Co, μὲν ἀληθῆ C — 12. ὅπου W, ὅτῳ C, ὅτου vel ἐν ὅτῳ Scheibe — 13. οὕτως om. A — 14. ὥστε ek, ὡς Bl — 15. πότερον ehl, cf. Cob. Mnem. VII 275 — 16. ἐκβεβλῆσθαι W, ψέγεσθαι C — τὰ παράνομα W, παράνομα καὶ ψευδῆ Ag, ψευδῆ καὶ παράνομα B — 18. δοῦναι A — 19. δὲ om. l — 23. πολιτεύεται l — πρῶτον ἁπάντων an, om. genetivum gm Tur. cf. I 40 — 24. καταλογίζεται .. ἀκούω (149, 6) om. n[1] — 26. ἀφορίζεται A (Tur.), ἀφ. τὸν χρόνον B — 28. οὕτω el — ἐκεῖνον l — φησι gm Tur., φησὶ καιρὸν ae, καιρόν φησι kl.



νέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δῆλον ὅτι μέχρι
τῆς ἡμέρας ἐκείνης ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰ-
ρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλε-
μον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας
τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν.
ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρα-
καλεῖν καὶ ἐπερωτᾶν, ὁποίου τούτων τῶν τεττάρων αὐ-
τοῦ καιρῶν κατηγορῶ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι
τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι ἀλλ'
ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι
προσελθὼν καὶ ἕλξειν ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν ἀπο-
κρίνασθαι. ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται ὑμεῖς τε 56
προειδῆτε, ἐγώ τοι ἀποκρίνομαι ἐναντίον σοι τῶν δικα-
στῶν, Δημόσθενες, καὶ τῶν πολιτῶν, ὅσοι γε ἔξωθεν
περιεστᾶσι, καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγονεν
ἐπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ οὐκ ὀλίγους παρόν-
τας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα
δημόσιον παραγενομένους· ἀποκρίνομαι δή, ὅτι ἁπάντων
τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρεῖ, κἂν 57
οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούωσι
κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἃ σοι σύνοιδα, πάνυ
προσδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ
πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλαν-
θρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμέ-
νους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην. καὶ

---

3. οὗτος post ῥήτωρ m — 5. τῆς ἐν B, τῶν ἐν A — 6. μέλλειν gmn — με om. A — 7. καλεῖν e — ὁποίου .. κατηγορῶ om. A — 10. ἐγκαλύπτομαι kh, ἐγκαλύπτεσθαι l — ἐκκαλύψει el — 11. ἕλξειν Co, αὔξειν l, ἄξειν x — ἀναγκάζειν A — 13. ἐγώ τοι W, ἐγώ τε C, ἐγὼ δὴ Taylor — ἀποκρίνωμαι C, em. M — 14. τῶν πολιτῶν W, τῶν πολ. καὶ τῶν ἄλλων A, τῶν ἄλλων πολιτῶν B — γε W, om. A, δὲ (τε) gm, τε n, δὲ a, vulg. δὴ — ἔξω kl — 16. ἐπακούειν Markl., ὑπακούειν C — 17. ποτε A — 18. ἀποκρινοῦμαι Bk, ἀποκρινῶμαι el, em. H — δὴ add. W — 19. διαιρῇ A, διαιρεῖς B, cf. II 121 — 20. ἀκούωσι H, ἀκούσωσι C — 21. δύναμαι a — σοι om. B — 22. ἐπιγράψειν gmn, ἀποδείξειν M — 23. τοὺς δὲ l — καὶ τοὺς: τῇ πόλει e, nondum persanatum est — 25. ἁπάντων om. am[1]nh[1] — δημοσθένη e, add. A: γεγενημένον αἴτιον, B αἴτιον γεγ., em. Taylor.

χρήσομαι τῇ τάξει ταύτῃ, ἣ τοῦτον πυνθάνομαι μέλλειν, λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων. καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58 Ὑμῖν γὰρ ἐξεγένετ᾽ ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ᾽ ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον, καὶ προϊόντος τοῦ χρόνου παρ᾽ ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκουν 59 συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα. ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν δόξας ἔχοντες, ἀλλ᾽ ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ᾽ ὁμολογήσας ἀληθὲς εἶναι, ὅ τι 60 ἂν ὁ λογισμὸς αἱρῇ. οὕτω νῦν τὴν ἀκρόασιν ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν

---

1. τῇ τάξει W, τῇ τάξει τοῦ λόγου A, τῇ τοῦ λόγου τάξει B — ταύτῃ C — ἣ A, ἣν B — μέλλειν W, μέλλ. ποιεῖσθαι A, ποιεῖσθ. μέλλ. B — 2. λέγω A — δὴ el — 4. νῦν B — καὶ ἤδη A — 5. ἐπανάγων l — 7. γὰρ] δὲ n — προτέραν A, προτ. ἐκείνην B — 9. οἵ τινες ἡμᾶς kl — 11. *post* Φίλιππον *add.* C: μετασχεῖν Ἑλληνικοῦ συνεδρίου, *del.* H — 13. ταύτην n — φιλ. κ. δημ. el, *fort.* καὶ φιλοκρ. *delendum* — 14. ἐδωραδόκουν e, ἐδωροδόκησαν x — 16. ἐξαίφ. ὑμῶν e — ἄπιστος A — 17. ποιήσασθαι ae — 19. καθεζόμεθα kl, *deinceps add.* C: ἐπὶ τοὺς λογισμούς, *del.* D — ψευδ. οἴκ. W, ἐνίοτε ψευδ. οἴκ. A, ψευδ. οἴκ. ἐνίοτε B — 20. *post* ἔχοντες *add.* C: κατὰ τῶν λογισμῶν (τὸν λογισμὸν A), *del.* W — 21. ἡμῶν Steph., ὑμῶν C, *post* ἐστὶν *ponit* A — 22. ὁμολογ. καὶ ἐπινεύσας B — ὅτι ἂν A, ὅτι ἂν αὐτὸς B — 23. νῦν e, *om.* kl, καὶ νῦν B — ποιήσασθαι e.



πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, — ὅστις οὕτω διάκειται, μήτ᾽ ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἂν ἀκούσῃ· οὐ γὰρ δίκαιον. ἀλλ᾽ ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὰ ψηφίσματα παρεχομένου, ἃ μετὰ Φιλοκράτους γέγραφε Δημοσθένης, ἐὰν ὁ αὐτῆς τῆς ἀληθείας λογισμὸς ἐγκαταλάβῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ᾽ ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα 61 Φίλιππον καὶ τοὺς πρέσβεις, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, — ἐὰν ταῦθ᾽ ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.

Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα 62 καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ Δημοσθένης· ἀπέφυγεν ὁ Φιλοκράτης. μετὰ ταῦτα ἐπῄει χρόνος Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ᾽ εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ᾽ ἐπιλαχών, ἀλλ᾽ ἐκ παρασκευῆς

---

2. διάκειται πρὸς αὐτὸν k — 3. ἂν *add.* D — ἀκούσῃ e, ἀκούσοι kl, ἀκούσει B — 4. ὅταν H — 5. τὰ ψηφίσματα .. ἃ .. γέγραφε A, τὸ ψήφισμα .. ὃ .. ἔγραψε B — 6. ὁ αὐτῆς Speng., ὁ αὐτὸς A, αὐτὸς ὁ B — 7. ἐγκαταλάβῃ H, ἐγκαταλαμβάνῃ C, καταλαμβάνῃ F — δημοσθένῃ e — 8. μετὰ φιλοκρ. gh — 10. καὶ τοὺς πρέσβεις W, καὶ τοὺς παρ᾽ ἐκείνου πρέσβεις H. Wolf, καὶ οὐκ ἀναμείναντα τοὺς πρέσβεις A, καὶ τοὺς παρ᾽ ἐκείνου πρ. οὐ παραμ. a, κ. τ. παρ᾽ ἐκεῖνον πρ. οὐκ ἀναμ. n, καὶ τοὺς παρ᾽ ἐκείνου πρ. οὐκ ἀναμ. x — 11. τοῦ *om.* A — τῶν Ἑλλ. *om.* B — 12. πεποιηκότα W, πεπ. φιλίππῳ A, φιλ. πεπ. B — 14. ἂν e — τοῦθ᾽ kl — 16. πρῶτον M, ἕνα C, *vitium ex* α[1] *ortum* — 18. κήρυκας B — 19. εἰρήνης καὶ συμμαχίας B, *em.* Tur. — 21. Λυκῖνος *om.* ang[1], *add.* A γραψάμενος, B ὁ γραψάμενος — δὲ *om.* B — 21. 22. συναπελ. δὲ καὶ B, *om.* καὶ A — 22. διέφυγεν A — ὁ *add.* A — 23. χρόνος Aa, ὁ χρόνος gmn.

πριάμενος, ἵν᾿ εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράτ-
63 τοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτε-
ρον ψήφισμα ὁ Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα
πρέσβεις, οἵτινες ἀφικόμενοι ὡς Φίλιππον ἀξιώσουσιν
αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας ἀποστέλλειν ὑπὲρ
τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπαν-
ήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις
πρέσβεσιν ἀπήγγελλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε
σπείσασθαι τῷ κήρυκι καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γρά-
φων Φιλοκράτει· ὁ μέν γε τὴν ἐξουσίαν ἔδωκε τοῦ δεῦρο
κήρυκα καὶ πρέσβεις πέμπεσθαι, ὁ δὲ τῇ πρεσβείᾳ σπέν-
64 δεται. τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα προσέχετε. ἐπράτ-
τετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συ-
κοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους,
ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην, εἰκότως, τοὺς
ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ καὶ τὰ ψηφίσματα γρά-
φοντας, πρῶτον μὲν ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις,
οὓς ἦτε ἐκπεπομφότες παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα
μὴ μετὰ τῶν Ἑλλήνων, ἀλλ᾿ ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην·
65 δεύτερον δ᾿ ὅπως μὴ μόνον εἰρήνην ἀλλὰ καὶ συμμα-
χίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν᾿ εἴ τινες προσέ-
χοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν
ἀθυμίαν ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ
τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην ἀλλὰ καὶ συμ-
μαχίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δὲ ὅπως Κερσο-
βλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ μετ-
έσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ. παρήγγελτο

1. ἀποδοχὴν e — 3. ὁ *add.* A — 4. ὡς A, πρὸς B — 5. ἀπο-στέλλειν A, πέμπειν B — 8. ἀπήγγελε en — τῶν A, τῶν ἄλλων B — 9. *post* κήρυκι *add.* C: τῷ ὑπὸ Φιλίππου (τοῦ φιλ. klgmn), τῷ Φιλ. Herw. — 10. δέδωκε B — 11. σπένδεται B, σπένδεσθαι A — 12. σφόδρα προσέχετε W, σφόδρα μοι τὸν νοῦν πρ. A, μοι σφ. πρ. τὸν νοῦν B — 16. καὶ *add.* el — 17. πρῶτον] *hinc altera manus* e Bkk — περιμείναιτε S — 19. τῶν ἄλλων B — ποιήσαισθε S — 20. τὴν εἰρήνην B

21. προσεῖχον kl — 23. ὁρῶντας k. ὁρῶντας l — ὑμᾶς *post* μὲν A — 24. τὸν πρὸς φίλιππον πολ. A — 26. μήτε C, *em.* Bkk — 27. παρήγγελτο Co, παρηγγέλλετο C



δ᾿ ἐπ᾿ αὐτὸν στρατεία. καὶ ταῦθ᾿ ὁ μὲν ἐξωνούμενος 66
οὐκ ἠδίκει, πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνε-
μέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα, οἱ δ᾿ ἀποδό-
μενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως ἰσχυρὰ μεγά-
λης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων
εἶναι καὶ τότε μισοφίλιππος, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων
τὴν Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πό-
λεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ 67
ὀγδόῃ ἱσταμένου τοῦ ἐλαφηβολιῶνος μηνός, ὅτ᾿ ἦν Ἀσκλη-
πιῷ ἡ θυσία καὶ ὁ προάγων, ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρό-
τερον οὐδεὶς μέμνηται γεγονός, τίνα πρόφασιν ποιησά-
μενος; ἵνα, φησίν, ἐὰν παρῶσιν οἱ Φιλίππου πρέσβεις,
βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιπ-
πον, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν
ἐκκλησίαν καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος καὶ τὸ
πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων
ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων ἀλλὰ μόνοι ποιή-
σησθε τὴν εἰρήνην. μετὰ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, 68
ἧκον οἱ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν
παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. ἐνταῦθ᾿
ἕτερον νικᾷ ψήφισμα Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον
ὑπὲρ τῆς εἰρήνης ἀλλὰ καὶ περὶ συμμαχίας βουλεύσασθαι,
μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ᾿
εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐνάτῃ
ἐπὶ δέκα. ὅτι δ᾿ ἀληθῆ λέγω, τῶν ψηφισμάτων αὐτῶν
ἀκούσατε.

1. ἐπ᾿ αὐτὸν W, ἤδη ἐπ᾿ αὐτὸν A, ἐπ᾿ αὐτὸν ἤδη B — 4. κατακοινώσαντες k — 6. μισοφίλιππος W, μισοφ. Δημοσθένης C — 8. ποιεῖσθαι A — 9. Ἀσκλ. A, τῷ Ἀσκλ. B — 10. καὶ ὁ ahM, καὶ ὅτ᾿ ἦν x — προάγων klgmn, προαγὼν ae, *cf.* Herodian. I 24. II 729 — ἐν τῇ ἱερᾷ ἡμέρᾳ *del.* Bake — ὃ *om.* a — 11. γεγονὸς A[h], γενόμενον B — 12. παρῶσιν W, παρ. ἤδη A, ἤδη παρ. B — οἱ A, οἱ τοῦ B — 13. δῆμος B, φίλιππος A — 15. ἡμῶν A — 17. ὑμετερ. k, ἡμ. x — 18. μετὰ ek, μετὰ δὲ x — 19. οἱ A, οἱ τοῦ B — ἡμέτεροι C — 21. ψηφ. νικᾷ B — 22. περὶ *add.* A — βουλ. A, ἡμᾶς βουλ. B, ὑμᾶς βουλ. Vulg. — 23. ἡμετ. A — 24. *prius* τὰ *om.* egmn — 25. ψηφ. ἀκούσατε A, ἀκ. τῶν ψηφ. B — αὐτῶν *add.* W.

## ΨΗΦΙΣΜΑΤΑ.

69 Ἐπειδὴ τοίνυν παρεληλύθει τὰ Διονύσια, ἐγίγνοντο δὲ αἱ ἐκκλησίαι, ἐν γε τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους
70 δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγράφεσθαι μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο τὰ μέγιστα προκαταλαμβάνοντες, πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν παραγενέσθαι κατασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει κτώμενοι, ἵν' εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν, ἃ νῦν ἡμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

## ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

71 Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ ἐγὼ καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιοῦτόν τι ὑπειληφώς, ὡς ἔσται μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ

---

2. *Post* τοίνυν a *add.* ὦ Ἀθηναῖοι, *post* Διονύσια gmn — παρεληλυθε A — 3. δὲ αἱ B, δεκα (αι) h, δέκα el, δὲ k — γε W, δὲ C, *del.* Bake — *post* ἐκκλ. *ponit* A, *post* δόγμα B: τῇ ὀγδόῃ ἐπὶ δέκα, *sustulit* Taylor — 4. κοινὸν *post* συμμ. e — 5. γὰρ *om.* gmn — 9. ἰασάμενοι e, ἰασ(ο)άμενοι h — 11. ἐν τισὶ el — 12. ἀναγράφεσθαι ek, ἀναγεγράφεσθαι l, *natum videlicet ex* ἀ(εγ)ναγρ., *hinc* ἀναγεγράφθαι B — 13. τὰ $A^h$, *om.* B — 14. μὲν οὖν τὸν B — παραγ. A, γενέσθαι B — κατασκ. $A^b$, παρασκ. B — 16. *ante* κτώμενοι *add.* C: μετὰ κοινοῦ (τοῦ *add.* e) συνεδρίου, *del.* W — 18. ὑμῖν ael — 22. δόγματι B, ψηφίσματι A, *nescio an rectius?* — ἐγὼ D, *om.* C — 24. τοιοῦτόν τι W, *cf.* I 49, τοιαύτην τινὰ δόξαν C — ὑπειληφὼς A, εἰληφὼς B — 25. δὲ τῆς a.



τὴν τῶν Ἑλλήνων παράκλησιν βουλεύεσθαι, ἔσται δὲ κοινὴ μετὰ τῶν Ἑλλήνων ἁπάντων. νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα δὴ Δημοσθένης προκαταλαβὼν τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν ἐχθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη τὴν εἰρήνην ἀπούσης συμμαχίας.
οὐ γὰρ ἔφη δεῖν, καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε διὰ 72
τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος, ἀπορρῆξαι τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον ἐρωτήματ' ἄττ' ἠρώτα, προειπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτ' ἐνίκα, τῷ μὲν λόγῳ προσβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. ὃ δὲ 73
ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ ἐλαφηβολιῶνος μηνός, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν εἰς Μακεδονίαν, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, καθεζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν ἐν ψηφίσματι παρεγγράψας, 74

---

1. βουλεύεσθαι A, βουλεύσασθαι B — κοινὴ klgmn, κοινὴ τῶν Hirsch. — 2. παρῆμεν Co, *sed. v.* Andoc. I 111: ἐκέλευον παρεῖναι εἰς τὸ Ἐλευσίνιον .. καὶ παρῆμεν — 3. ἐν τῇ ἐκκλησίᾳ a — 4. προκαταλαμβάνων B — Δημοσθ. *in archetypo cum excidisset, in* A *post* βῆμα, *in* B *ante* τὸ βῆμα *ponitur* — παραλείπων H — 5. ἐχθὲς W, χθὲς C — λόγων εἶναι a — 8. καὶ *omisso* τὸ γὰρ ek — 10. τὴν συμμ. W, τὴν συμμ. τῆς εἰρήνης A, τῆς εἰρ. τὴν συμμ. B, τῆς φιλίας ἀπορρ. τὴν συμμ. Dion. Hal. 1126 — 11. μελετήματα el — αὐτοὺς C, αὖθις Bake — ἰδίαν l — 13. ἐρωτήματ' ἄττ' W, ἐρώτημα A, ἐρώτημά τι B — εἰρήσεται gmn — 14. περὶ τῆς πόλ. a — 15. ἐνίκησε l — προσβιασ. R, προβιασ. C — 19. ἐλαφηβ. μηνὸς A, ἐλαφηβ. B, *cf.* §. 98. 67 — 21. ἡμῖν A — οὗτος A — 22. ἐν Μακεδονίᾳ B — 23. καταπλύειν l 24. λέγω *om.* n, *post* καθεζ. agm² — 26. ὁ μὲν Bake, ὁ μὲν φιλοκράτης C — *post* ψηφ. *add.* C: μετὰ τῶν ἄλλων γραμμάτων, *del.* W

ὁ δ᾽ ἐπιψηφίσας, „ἀποδοῦναι δὲ τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων.“ παρὰ δὲ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι τὸν
75 Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλησε τῶν ὅρκων. ὅτι δ᾽ ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράφων.

ΨΗΦΙΣΜΑ.

Καὶ τίς ἦν ὁ ταῦτα ἐπιψηφίσας.

ΠΡΟΕΔΡΟΣ.

Καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων πραγμάτων φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ᾽ ἀπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηροὺς ἐκ μεταβολῆς δ᾽ ἀξιοῦντας εἶναι χρηστούς.

76 Ὑπόλοιπον δέ μοι τὴν κολακείαν διεξελθεῖν. Δημοσθένης γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐνιαυτὸν βουλεύσας οὐδεμίαν φανήσεται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε πρῶτον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην. καὶ ὅτ᾽ ἀπῇσαν, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικὰ καὶ προὔπεμψεν εἰς Θήβας, καταγέλαστον τὴν πόλιν ποιῶν. ἵνα δ᾽ ἐπὶ τῆς ὑποθέσεως μείνω, λαβέ μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας.

1. ὁ δ᾽ ἐπιψηφίσας Δημοσθένης C, em. Bake — Ante ἀποδοῦναι in C est: ἐν ᾧ γέγραπται, del. Markland — δὲ add. A — 2. τοῖς om. el — 3. δὲ om. gmu — κερσοβλέπτῃ e — 5. ἐξέκλεισε C — 6. γράφων A, γράψας B — 8. καὶ τίς ἦν A, καὶ τίς B — ἐπιψηφίσας A[b], ἐπιψηφίσας πρόεδρος B, cf. Prol. Ctes. p. XV — 9. ΠΡΟΕΔΡΟΙ ek, om. a — 11. γραμμάτων kl, πραγμάτων Be Rhet. Sp. III 20, II 463 — μεταπίπτει C, em. M — 12. τοῖς ἀντιμεταβαλλομένοις αὐτομολοῦσιν A — τῇ om. B — ἀπέδωκε A, ἐπέδωκε B — 15. δέ μοι W, δ᾽ ἐστί μοι A, δέ μοί ἐστι B — κολακείαν αὐτοῦ B — 16. ὦ ἄ. Ἀ. add. A — οὐδεμίαν πώποτε B — 17. φανήσεται A, φανεῖται B — 18. πρῶτον W, πρῶτον καὶ μόνον A, μόνον καὶ πρῶτον B — 21. ἀσχημ. W, ἀσχημ. καὶ τὴν κολακείαν a, ἀσχ. καὶ κολ. x — ἀπῆσεν Co, ἀπήεσαν C, post hoc verbum in C add.: εἰς Θήβας, del. Taylor — 22. ὀρεικὰ e. ὀρ(ε)ικὰ guh, βοῶν a — προὔπεμψεν Taylor, τοὺς πρέσβεις προὔπ. C — 23. ἐγκαταγέλαστον gmu, Totum hoc κ. τ. π. π. ante ἐμισθώσατο ponit a. cf. § 34 — 24. ὑπὲρ A



ΨΗΦΙΣΜΑ.

Οὗτος τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ 77
μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτὴν τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο, ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ᾽ ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ᾽ ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν καὶ πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. καὶ οὐ τὸ δυστύχημα 78
ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος καὶ πονηρὸς πατὴρ οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποτ᾽ ἂν ὑμᾶς περὶ πολλοῦ ποιήσαιτο τοὺς ἀλλοτρίους, οὐδ᾽ ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ᾽ ἦν ἐν Μακεδονίᾳ καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον ἀλλὰ τὸν τόπον μετήλλαξεν.

Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων, 79
οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός, καὶ τί ποτ᾽ ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ᾽ εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ᾽ ὑμᾶς εἰς τὴν ἀτυχίαν ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ᾽ ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. ὡς γὰρ τάχι- 80
στα εἴσω Πυλῶν παρῆλθε Φίλιππος καὶ τάς τ᾽ ἐν Φωκεῦσι

5. ἑαυτῶν l — 9. Cf. Rhet. W. IV 94 — 10. πρὶν καὶ W, πρὶν ἢ A, πρὶν B — 12. παρενόμει kgmn, παρ(η)νόμει g, πορηνόμει ela Plut. Consol. 119 b, Rhet. W. V 50, παρῴνει D — 13. Rhet. Sp. III 36. 75 — 15. πονηρὸς πατήρ l, πατὴρ πονηρός x, fort. ἰδίᾳ πονηρός — 17. οὐδέποτ᾽ ἂν W, οὐδέ ποθ᾽ C — ἡμᾶς agm — πολλοῦ A, πλείονος B — ποιήσαιτο A, ποιήσεται B — post ἀλλοτρίους add. C: οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἂν γένοιτο δημοσίᾳ χρηστός, del. W — 19. post Μακεδονίᾳ add. C: κατὰ τὴν πρεσβείαν, del. Bekk — τόπον el, τόπον μόνον Bk — 26. ἡμᾶς B — τὰς ἀτυχίας B — ὁ μιαρὸς ἄνθρωπος ante εἰς ponit a — 28. φίλιππος παρῆλθε B.

καὶ τὰς ἐν Βοιωτοῖς πόλεις παραδόξως ἀναστάτους ἐποίησε,
Θηβαίους δέ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω τοῦ καιροῦ
καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν,
ὑμεῖς δ' ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν
ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ τὴν εἰρήνην
πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλο-
κράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν
81 ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι, συνέβη ἐν τοῖς αὐ-
τοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην καὶ Φιλοκράτην
σχεδὸν ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆ-
ναι. τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς μετὰ τῶν συμφύ-
των νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο καὶ
ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου
κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως
ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν,
αὐτὸς δ' εὐδοκιμήσειν καὶ προδότης ὢν τῶν φίλων
82 καὶ πονηρὸς ὡς πιστὸς τῷ δήμῳ. κατιδόντες δ' αὐτὸν οἱ
προσπολεμοῦντες τῇ τῆς πόλεως ἡσυχίᾳ ἀσμένως παρε-
κάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζον-
τες τῇ πόλει· ὁ δὲ παριὼν ἀρχὰς ἐνεδίδου πολέμου καὶ
ταραχῆς. οὗτός ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ πρῶτος
ἐξευρὼν Σέρριον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ
Μυρτίσκην καὶ Γάνος καὶ Γανιάδα, χωρία ὧν οὐδὲ τὰ
ὀνόματα ᾔδειμεν πρότερον. καὶ εἰς τοῦτο φέρων περι-

1. *καὶ τὰς ἐν Βοιωτοῖς add.* W, *cf.* Usen. Dem. XIX. 112. 141. 325 — πόλεις] φίλιππος k — 2. δὲ *om.* kl — τοῦθ' B — ἡμῖν k — 3. παρεσκ. gmn — 4. δ'' M, τ' C — ἐσκευαγωγήκατε B — 5. τὴν εἰρήνην A, περὶ τῆς εἰρήνης B — 8. τὰ *add.* A' — συνέβη Schultz, συνέβη τε A, συνέβη δ' B — 9. τὸν δημ. a — 10. ὑπὲρ ὧν W, ὑπὲρ τούτων ὑπὲρ ὧν C — 12. *post* ἐβουλ. *add.* C: μετὰ δειλίας καὶ τῆς πρὸς φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, *nisi quod in* B: ὑπὲρ τῆς ζηλοτ. δωροδοκίας, *del.* Bake — 15. ἀπολογεῖσθαι l — κινδυνεύσειν k, κινδυνεύειν *vel* κινδυνεύσειν x — 17. ὡς πιστὸς τῷ δήμῳ W, πιστὸς τῷ δήμῳ κληθήσεται A, πιστ. τ. δ. φανήσεσθαι B — οἱ προσπ. τῇ τῆς πόλεως ἡσυχίᾳ A, οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυχίᾳ B, οἱ τῆς πόλεως προσπ. ἡσυχῇ $h^1$, οἱ τῇ τῆς πολεως πολεμ. ἡσυχίᾳ $h^2$, οἱ τῇ τῆς πόλεως πρ. ἡσυχίᾳ R — 18. ἀσμένως A, ἄσμενοι B — 20. ἀρχὰς W, αὐτοῖς ἀρχ. A, ἀρχ. αὐτοῖς B — ἐδίδου a — 23. μυρτίσκην k, *om.* elB, μυργίσκην M — γαννος e — Γανιάδα Harp., δάνδια el, γανίδα k, *om.* B — 26. εἰς e, ἐς x.



έστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι πρέσβεις Φί-
λιππος, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμ-
ποι, κατασκόπους πέμπειν ἀλλ' οὐ πρέσβεις. εἰ δὲ ἐπι- 83
τρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλη-
μάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ.
Ἁλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δί-
δωσιν ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος.
καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου
εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς συνθήκας ληστεύ-
σαντας τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ
τὸν πόλεμον κατεσκεύασεν.

Ναὶ ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὥς αὐ- 84
τός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε τῇ Θηβαίων συμμα-
χίᾳ. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ταῦτα τρία τὰ μέ-
γιστα ἠδίκησθε καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰ-
πεῖν περὶ τῆς θαυμαστῆς συμμαχίας τῆς τῶν Θηβαίων,
ἵν' ἐφεξῆς λέγω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθή-
σομαι.

Ὑμεῖς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδι- 85
κημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ
Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθη-
ναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος
τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο,
τούτων ἑκόντες ἐπιλαθόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔ-
βοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι,
ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζῇ
δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν ὑποσπόν-

1. πρ. φίλιππος A, φιλ. πρ. B, *fort.* εἰ μὲν φίλιππος κτλ. — 4. ἐθέλει agm, ἐθέλει (οι *supra*) n — 6. ἁλόννησον $hm^2$, ἁλόνησον AB — 8. τὸ *om.* lmn — τούς τε $gmnh^2$ — 9. τὰς συνθήκας W, τὰς περὶ τῆς εἰρήνης συνθήκας A, τὰς τῆς εἰρήνης συνθ. B — ληστεύσαντας W, πρεσβεύσαντας A, ἐπιστρατεύσαντας B — 11. παρεσκ. B — 13. τῇ Θηβαίων συμμ. W, τῇ Θηβ. καὶ τῇ τῶν Εὐβοέων συμμ. A, τῇ τῶν Εὐβ. καὶ Θηβ. συμμ. B — 14. τρία τὰ W, καὶ A, τρία B — 16. θαυμαστῆς A, μεγίστης B — 17. λέγω A, εἴπω B — περὶ τῆς τῶν A, *scilicet ex superiore interpolatione natum* — 19. πολλὰ *om.* e — 24. ἐπιλανθανόμενοι A — 26. πεζῇ A, πεζικῇ B.

δους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι,
καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς
καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δί-
καιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆ-
86 ναι. καὶ τηλικαῦθ᾽ ὑφ᾽ ὑμῶν εὖ παθόντες οἱ Χαλκιδεῖς
οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ᾽ ἐπειδὴ τά-
χιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθοῦντες τοὺς
μὲν πρώτους χρόνους ἀλλ᾽ οὖν προσεποιοῦνθ᾽ ὑμῖν εἶναι
φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν καὶ
τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα
Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθαρνῶν ἐνεκω-
87 μίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἰς δεινὰς
δυσχωρίας κατακεκλῃμένον, ὅθεν μὴ νικήσασι μάχην οὐκ
ἦν ἀναχώρησις οὐδὲ βοηθείας ἐλπὶς οὔτ᾽ ἐκ γῆς οὔτ᾽ ἐκ
θαλάττης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπε-
δον καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος,
ὅ τ᾽ ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας προσ-
γελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ᾽
88 ἡμᾶς ὡς ἀναιρήσοντες. καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις
ἔσωσε τὸ στρατόπεδον, ἔπειθ᾽ οἱ στρατιῶται οἱ ὑμέτεροι
καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς ἄνδρες ἐγένοντο καὶ παρὰ τὸν
ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρα-
τήσαντες ὑποσπόνδους ἀφεῖσαν τοὺς πολεμίους, ἐκινδύ-
νευσεν ἂν ἡ πόλις τὰ αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυ-

1. ἀφῆκτε 1, an ἀφείκετε? — 3. τοῖς παρακ. A, αὐτοῖς παρακαταθέμενοι B — 5. ὑφ᾽ om. B — πεπονθότες B, cf. § 88 — 6. οὔτε mn — 7. βοηθοῦντες A, βοηθήσοντες B — 8. μὲν γὰρ c — χρόνους om. 1 — 9. ἐπεὶ δὲ 1 — 10. Κοτύλαιον B Herodian. I 370, Κοτυλαῖον A — ὑπερεβάλομεν A — 11. ὁ δημ. n — μισθαρνῶν A, μισθὸν λαβών B — ἐνεκωμίαζεν ek, ἐνεγκωμίαζεν 1, ἐνεχείριζεν B — 12. τὸ om. el — δεινὰς A, τινας B — 13. κατακεκλῃμένον mn, κατακεκλειμένον a, κατακεκλεισμένον x — μάχῃ A[b] — 14. οὔτε C, em. Bekk — ἐκ ante θαλ. om. 1 — 15. θαλάσσης a — 16. προσπαραπεμψ. a — 17. 18. προσγελῶν A, δεξιούμενος καὶ προσγελῶν B, cf. Priscian. XVIII 280 — 18. εἰς ἡμᾶς a — ἡμᾶς ael, ὑμᾶς x — 21. οἱ utroque loco add. A — ἐγένοντο W, ἐγένοντο ἀγαθοὶ A, ἀγαθοὶ ἐγένοντο B — 22. μάχῃ νικήσαντες A — 23. ὑποσπόνδους ἀφεῖσαν A, ἀφίεσαν ὑποσπ. B — 24. ante ἡ πόλις add. A ὑμῶν, gmn ἡμῶν, om aliM — ἡ πόλις post παθεῖν ponit A,



χῆσαι κατὰ πόλεμόν ἐστι δεινότατον, ἀλλ᾽ ὅταν τις πρὸς
ἀνταγωνιστὰς ἀναξίους διακινδυνεύων ἀποτύχῃ, διπλα-
σίαν εἰκός ἐστιν εἶναι τὴν συμφοράν. ἀλλ᾽ ὅμως ὑμεῖς
τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς. τυ- 89
χὼν δὲ συγγνώμης παρ᾽ ὑμῶν Καλλίας ὁ Χαλκιδεὺς μι-
κρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυ-
τοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα
συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ᾽ ὑμᾶς ἔργῳ παρα-
σκευάζων, ἐξαίρετον δ᾽ αὑτῷ τυραννίδα περιποιούμενος.
κἀνταῦθα ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι
ἀπῆλθεν εἰς Μακεδονίαν καὶ περιῄει μετὰ Φιλίππου καὶ
τῶν ἑταίρων εἷς ὠνομάζετο. ἀδικήσας δὲ κἀκεῖνον ἀπο- 90
δρὰς ὑπέβαλεν αὑτὸν φέρων Θηβαίοις. καταλιπὼν δὲ
κἀκείνους καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου,
παρ᾽ ὃν ᾤκει, εἰς μέσον ἐμπίπτει τῆς τε Θηβαίων ἔχθρας
καὶ τῆς Φιλίππου. ἀπορῶν δ᾽ ὅ τι χρήσαιτο αὑτῷ, καὶ
παραγγελλομένης ἐπ᾽ αὐτὸν ἤδη στρατείας, μίαν ἐλπίδα
λοιπὴν κατεῖδε σωτηρίας ἔνορκον λαβεῖν τὸν δῆμον τὸν
Ἀθηναίων, σύμμαχον ὀνομασθέντα βοηθήσειν, εἴ τις ἐπ᾽
αὐτὸν ἴοι· ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύ-
σαιτε. ταῦτα διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις 91
Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρο-
μήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας, Δημοσθένει δ᾽
ἀργύριον καὶ τοῖς περὶ αὐτόν. τρία δ᾽ ἦν ἃ ἅμα ἐξεω-

vitium subesse apparet, fort.: ἐκινδύνευσεν ἂν ὑμῖν τ᾽ αἴσχιστα παθεῖν ἡ πόλις — τὰ αἴσχιστα F, αἴσχιστα C — 1. ἐστι δεινότατον W, ἐστι πόλεμον 1, ἐστι μέγιστον ek, μέγιστόν ἐστι κακόν B — 2. ἀναξίους W, ἑαυτοῦ ἀναξ. A, ἀναξ. αὐτοῦ B — ἀποτύχοι kl — 3. ἐστιν add. A — 5. παρ᾽ ὑμῶν συγγν. B, fort. παρ᾽ ὑμῶν delendum — 7. εὐβοικῷ a — 8. συναγαγὼν A — 10. κἀνταῦθα A, καὶ ταύτης B — 12. ἑτέρων k — οἷς e — δὲ κακεῖνον W, δὲ φίλιππον κἀκεῖνον A, δὲ φίλιππον κἀκεῖθεν B — 13. ὑπέβαλλεν amn — ἑαυτὸν klB — καταλιπὼν F, ἐγκαταλ. C — 14. στρεφόμενος A, τρεπόμενος (τραπόμενος) h — 15. πίπτει Be — τε om. B — 16. καὶ τοῦ A — 17. στρατιᾶς C — 18. τὸν δῆμον τὸν Ἀθηναίων Bekk., τὸν δῆμον τῶν ἀθην. A, τῶν ἀθηναίων δῆμον an, τὸν Ἀθηναίων δῆμον x — 20. κωλύσαιτε Markl., κωλύσετε C — 21. ταῦτα A, ταῦτα δὲ B — δεῦρο B, δεύτερον A — 22. καὶ ἐμπεδῶνα gmn, om. a — 23. ἐλπίδας W, κενὰς ἐλπίδας A, ἐλπ. κενὰς B — 24. αὐτόν B, τοῦτον A — ἐξεωνεῖτο F, ἐξων. C

νεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς
συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν
προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο τὴν
συμμαχίαν, ἀλλ᾽ ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκί-
δος ἢ τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις
ἐπ᾽ αὐτὸν ἐπεστράτευον. δεύτερον δ᾽ ὑπὲρ τοῦ μὴ
συνεδρεύειν Ἀθήνησι Χαλκιδέας, τρίτον δὲ ὥστε μὴ
92 τελεῖν συντάξεις. καὶ τούτων τῶν προαιρέσεων οὐδε-
μιᾶς ἀπέτυχε Καλλίας, ἀλλ᾽ ὁ μισοτύραννος Δημοσθένης,
ὡς αὐτὸς προσποιεῖται, ὅν φησι Κτησιφῶν τὰ βέλτιστα
λέγειν καὶ πράττειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς
πόλεως, ἔγραψε δ᾽ ἐν τῇ συμμαχίᾳ βοηθεῖν ὑμᾶς Χαλκι-
δεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος εὐφημίας ἕνεκα·
93 καὶ Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ᾽ Ἀθηναίους· τὰς
δὲ συνεδρίας καὶ τὰς συντάξεις ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος
ἔμελλεν ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασιν αἰσχίστας
πράξεις γράφων καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς, τὰς
μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν πρότερον ποιεῖσθαι τοῖς
ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας
μετὰ τὰς εὐεργεσίας. ἵνα δ᾽ εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω,
λαβέ μοι καὶ ἀνάγνωθι τὸ ψήφισμα.

### ΨΗΦΙΣΜΑ.

94 Οὔπω τοίνυν τοῦτ᾽ ἐστὶ δεινόν, εἰ καιροὶ τηλικοῦτοι
πεπραμένοι τυγχάνουσιν, ἀλλὰ πολὺ τούτου δεινότερον
φανήσεται ὃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προήχθη Καλ-

5. ἐγκαταλειφθέντι Aa — 6. ἐστρατεύσαντο el, add. C ἥ τε Φιλίππου καὶ Θηβαίων, del. W — post δεύτερον δ᾽ add. C: ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν, del. W — 11. καὶ πράττειν add. W — 12. ἡμᾶς C — 13. ἀντὶ τούτων εὐφ. ἕνεκα προσγράψας k, ἀντὶ τ. εὐ. ἕ. προγράψας B, ἀντὶ τ. εὐ. ἕ. προσέγραψε el, em. W — 14. καὶ add. A — 15. προεδρίας B, $\overset{\text{συν}}{\text{π}}$ροεδρίας h — 16. ἔμελλεν e, ἤμελλεν x — 17. προβιβάζων $gm^2n^2h^2$ — ἡμᾶς k — 18. ὡς δεῖ τὴν πόλιν τὰς μὲν βοηθείας $A^b$, ὡς δεῖ τὴν πόλιν τὰς βοηθείας προῖκα ποιεῖσθαι H — 19. ὑστέρας ποιεῖσθαι B, τὰς δὲ συμ. . . . εὐεργεσίας del. H — 21. post λαβέ μοι add. C: τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, del. H — καὶ om. el — 23. εἰ οἱ καιροὶ B — τηλικοῦτοι πεπραμένοι τυγχάνουσι A, πέπρανται τηλικοῦτοι B, quod in C sequitur: καὶ συνεδρίαι καὶ συντάξεις del. H — 24. τοῦτο Be, fort. delendum — 25. ὑμῖν φαν. B, φανήσεται εἶναι ὃ ck.



λίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθέ-
νης δὲ ὃν ἐπαινεῖ Κτησιφῶν δωροδοκίας, ὥστε τὰς ἐξ
Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα,
ὁρώντων φρονούντων βλεπόντων ἔλαθον ὑμῶν ὑφελό-
μενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ᾽
ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ κα-
λούμενον Εὐβοϊκὸν συνήγαγον. ὃν δὲ τρόπον καὶ δι᾽
οἵων κακουργημάτων, ταῦτ᾽ ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι.
ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκέτι δι᾽ ἀγγέλων ἀλλ᾽ αὐ- 95
τὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους
διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. εἶπε γάρ,
ὡς ἥκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς
ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογί-
ζετο ὅσον ἑκάστους ἔδει συντελεῖν, Ἀχαιοὺς μὲν πάντας
καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ᾽ ἐν Εὐβοίᾳ πό-
λεις ἁπάσας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων 96
ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζὴν δύναμιν· εἶναι δὲ πολ-
λοὺς ἄλλους τῶν Ἑλλήνων οὓς βούλεσθαι κοινωνεῖν τῆς
συντάξεως, ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσε-
σθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ
πράξεις πράττειν ἑτέρας δι᾽ ἀπορρήτων, καὶ τούτων εἶναί
τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν
ὀνομαστὶ παρεκάλει Δημοσθένην καὶ συνειπεῖν ἠξίου. ὁ 97
δὲ σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει
τό τε ἀπόρρητον προσεποιήσατο εἰδέναι· τὴν δ᾽ ἐκ Πελο-
ποννήσου πρεσβείαν ἣν ἐπρέσβευσε καὶ τὴν ἐξ Ἀκαρ-
νανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δ᾽ αὐτῷ κε-
φάλαιον τοῦ λόγου πάντας μὲν Πελοποννησίους ὑπάρ-
χειν, πάντας δ᾽ Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον

4. ἡμᾶς elh — 5. τούτους gmn, τοιούτους a — 6. ἡμῶν B — Εὐβοϊκὸν W, συνέδριον εὐβοικὸν gmn, εὐβ. συν. Aa — 8. τοῦτ᾽ el — 11. διεξῆλθε B, ἐξέλεξε A — 12. πελοπονήσου kgm — εἰς om. g — 13. φιλίππου e — 15. τὰς δ᾽ ἐν εὐβοίᾳ . . . τετταράκοντα om. A — 17. πεζὴν el, νεζικὴν x — 18. καὶ ἄλλους B — 19. ὥστε A, ὡς B — 23. παρακαλεῖ A — 24. πάνυ om. el, cf. II 36 — ἐπῄνει a — 25. δ᾽ om. a — 28. τοῦ λόγου A, Suid. s. κεφάλαιον, τῶν λόγων BM — 29. καρνᾶνας a — ἐπὶ φιλ. συντετ. g.

ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα χρημάτων μὲν εἰς
ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς
98 στρατιώτας μυρίους καὶ ἱππέας χιλίους, ὑπάρξειν δὲ πρὸς
τούτοις καὶ τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου
μὲν πλεῖν ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέ-
ρους τοσούτους· δεδόσθαι δὲ ἁπάντων τούτων τὴν
ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ ταῦτα οὐκ εἰς μακράν,
ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ ἀνθεστηριῶνος μηνός·
εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑφ' ἑαυτοῦ καὶ παρηγγέλ-
θαι πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν παν-
99 σέληνον. καὶ γὰρ ταῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν
ποιεῖ. οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες ὅταν τι ψεύδωνται,
ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν
ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν
μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος ἑαυτῷ, δεύ-
τερον δὲ ἃ οἶδεν οὐδέποτε ἐσόμενα τολμᾷ λέγειν εἰς
ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ
ὀνόματα λέγει, κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος
τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ σφόδρα ἄξιός ἐστι μισεῖ-
σθαι, ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα δια-
100 φθείρει. ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα
τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος, κενότερον δὲ
τῶν λόγων οὓς εἴωθε λέγειν, καὶ τοῦ βίου ὃν βεβίωκε,
μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐ-
δέποτε συλλεγησομένων. ἀπαγαγὼν δ' ὑμᾶς ἄπωθεν ἀπὸ
τοῦ κλέμματος καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐν-
ταῦθα δὴ συστρέψας γράφει ἑλέσθαι πρέσβεις εἰς Ἐρέ-

1. χρήματα e — 2. πληρ. νεῶν ταχυν. a — 3. ἱππεῖς B — 5. πλεῖν W, πλέον A, πλείονας B — δισμυρίους kl — 6. ἁπάντων el, ἀπὸ πάντων x — 7. ὑμῖν om. B — πραχθήσεται A — αὐτὰ B — 9. γὰρ: δὲ el — ἐν om. g — ὑπ' αὐτοῦ B — 11. ἄνθρωπος S, ἄνθρωπος A, ἀνθρώπων B — 15. ἑαυτῷ ae, αὐτῷ x — 16. οἶδεν A Stob. II 48, εὖ οἶδεν B — Post λέγειν add. a: ἀριθμῶν, om. Agmn Stob. — εἰς ὁπότ': εἴ ποτ' e Stob. — 19. σφόδρα A, μάλιστα B — 20. φθείρει A — 22. κενότερον n, κενώτερον el, καινότερον kagm — 23. εἰώθει e — 25. ἄπωθεν a, ἄποθεν x, cf. Herodian. I 500: ὡς ἀπὸ τοῦ ἄπω μὴ εἰρημένου ἄπωθεν — 26. ἐπὶ (ἀπο) h — ἐνταῦθ' ἤδη A — 27. γράφει W, γρ. καὶ κελεύει A, γρ. κελεύων B.



τριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων, πάνυ γὰρ ἔδει
δεηθῆναι, μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν ἀλλὰ Καλ-
λίᾳ, καὶ πάλιν ἑτέρους εἰς Ὠρεὸν [πρὸς τοὺς Ὠρείτας],
οἵτινες δεήσονται τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν
νομίζειν. ἔπειτ' ἀναφαίνεται περὶ πάντα τῶν ἐν τῷ 101
ψηφίσματι προσκοπῶν τῷ κλέμματι, γράψας καὶ τα πέντε
τάλαντα τοὺς πρέσβεις ἀξιοῦν τοὺς Ὠρείτας μὴ ὑμῖν ἀλλὰ
Καλλίᾳ διδόναι. ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον
καὶ τὰς ἀλαζονείας αὐτοῦ τοῦ κλέμματος ἅψαι, ὃ ὑφείλετο
ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὅν φησι Κτησιφῶν δια-
τελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῷ
Ἀθηναίων.

## ΨΗΦΙΣΜΑ.

Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατιὰν καὶ 102
τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς
δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ
ἀπωλέσατε.

Ὑπόλοιπον δ' εἰπεῖν, ὅτι λαβὼν τρία τάλαντα μι- 103
σθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον
μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας
παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ,
δι' οὗ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρει-
τῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλω-
μένοι γὰρ ἐν τῷ πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμε-

2. ημῖν kgmn — post ὑμῖν add. C: τὰ πέντε τάλαντα, del. W — 3. αἱρήσεται add. A post ἑτέρους, αἱρεῖσθαι B et post Ὠρείτας C: πρέσβεις, utrumque del. W — 4. δεήσονται αὐτοῖς τὸν αὐτὸν B — ἀθηναίους agm — καὶ φίλον A — 5. post νομίζειν add. C: εἶναι, del. Co — C: ἔπειτα ἀναφαίνεται περὶ πάντων (ἁπάντων B) ἐν (ἐπὶ B) τῷ ψηφίσματι πρὸς τῷ κλέμματι, cf. ed. Lips. Plin. IX 26, 11. — 6. καὶ om. a Sauppe — 7. ἀξιῶν B — ἡμῖν C, em. Bekk. — 8. λέγω ἀληθῆ e — κόμπον: add. C καὶ τὰς τριήρεις, del. W, καὶ τὰς τερατείας De Boor — 9. τὴν ἀλαζονείαν B, quod add. in C: ἀνάγνωθι καὶ delevi — αὐτοῦ τοῦ W, ἀπὸ τοῦ A, τοῦ B — 10. φησι om. a — Κτησιφῶν: add. C καὶ (om. A) ἐν τῷδε τῷ ψηφίσματι, del. W — 10. 11. τῷ Ἀθην. W, τῶν Ἀθην. C — 14. στρατείαν B — 15. καὶ τοὺς συνέδρ. καὶ τὴν πανσ. a — λόγῳ om. a — 18. ὑπόλοιπον δ' εἰπεῖν W, ὑπ. δὲ εἰπεῖν ἐστί μοι A, ὑπ. δέ μοί ἐστιν εἰπεῖν B — τρία A, δέκα B — 22. δι' οὗ H. Wolf, δι' ὃ Bremi, διὸ C — 24. ἐν τῷ πολέμῳ Aa, ἐν τῷ πρὸς Φίλιππον πολ. gmn.

νοι πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν Χαριγένους
υἱὸν τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον τὸ
μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελούμενον δ' αὐ-
104 τῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ. ὁ δὲ ἀπεκρί-
νατο τῷ Γνωσιδήμῳ, ὅτι καὶ μάλα χρυσοῦ χαλκοῦ δ'
οὐδὲν δέοιτο· τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰσέπρατ-
τεν. ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες
ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους
καὶ τόκον ἤνεγκαν δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ
105 κεφάλαιον ἀπέδοσαν. καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσμα-
τος τοῦ δήμου. ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα
τῶν Ὠρειτῶν.

ΨΗΦΙΣΜΑ.

Τοῦτ' ἐστὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχύνη
μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους
πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος· τὸν
γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γε-
γονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι.

106 Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλ-
λον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης
ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις ἀσε-
βήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐ-
δαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. ἄρ-
ξομαι δὲ ἀπὸ τῶν εἰς θεοὺς πλημμελημάτων λέγειν.

107 Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ Κρισαῖον πεδίον
καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος.

---

1. χαιρεγένους A — 2. δεησ. αὐτοῦ B — 3. ἀφιέναι B — ἐπαγγε-λούμενον Steph., ἐπαγγελόμ. mu, ἐπαγελλόμ. x — 5. ὅτι καὶ μάλα χρυσοῦ, χαλκοῦ δ' οὐδὲν δέοιτο W, ὅτι ἐλαχίστου χαλκοῦ δέοιτο C — 6. εἰσέπραττεν A, εἰσπράττειν B — 9. *post* ἤνεγκαν *in* C *add.* Δημοσθένει τοῦ δωροδοκήματος, *del.* H — 10. ταῦτ A[b], πάντ' B — 11. ὅτι — τὸ ψήφισμα *om.* el — ἀληθῆ M, τἀληθῆ C — ψηφ. τοῦ k, ὠρειτῶν. τὸ ψήφισμα λέγε γραμματεῦ l — 16. τοῦ Κτησ. B — 17. ἔστιν a, ἔνεστιν x — 18. γράψαι W, γρ. ἐν τῷ ψηφίσματι B, ἐν τῷ ψηφ. γρ. A — 23. τὴν *om.* n — γράψας *om.* n — ἄρχομαι kl, ἐνάρξομαι n — 24. δὲ *om.* a — εἰς θεοὺς A, εἰς τοὺς θεοὺς B — πλημ. W, πλημ. αὐτοῦ A, αὐτοῦ πλημ. B — 25. Κρισαῖον W, Κιρ-ραῖον ὠνομασμένον C, *cf.* Harp. 111.



ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρραῖοι καὶ Κραυα-
λίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς
καὶ περὶ τἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς
τοὺς Ἀμφικτύονας. ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γιγνο-
μένοις μάλιστα μὲν ὡς λέγεται οἱ πρόγονοι οἱ ὑμέτεροι,
ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες μαντείαν ἐμαντεύσαντο
παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους
μετελθεῖν. καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιρ- 108
ραίοις καὶ Κραυαλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας,
καὶ τὴν χώραν αὐτῶν καὶ τὴν πόλιν ἐκπορθήσαντας [καὶ
αὐτοὺς ἀνδραποδισαμένους] ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ
Πυθίῳ καὶ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προναίᾳ ἐπὶ
πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζε-
σθαι μήτ' ἄλλον ἐᾶν. λαβόντες δὲ τὸν χρησμὸν τοῦτον οἱ
Ἀμφικτύονες ἐψηφίσαντο Σόλωνος εἰπόντος Ἀθηναίου
τὴν γνώμην ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν
μαντείαν τοῦ θεοῦ· καὶ συναθροίσαντες δύναμιν πολλὴν 109
τῶν Ἀμφικτυόνων ἐξηνδραποδίσαντο τοὺς ἀθρώπους καὶ
τὸν λιμένα ἔχωσαν καὶ τὴν πόλιν κατέσκαψαν καὶ τὴν
χώραν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις
ὅρκον ὤμοσαν ἰσχυρὸν μήτ' αὐτοὶ τὴν ἱερὰν γῆν ἐργά-
σεσθαι μήτ' ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ
καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ
δυνάμει. καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον τὸν ὅρκον 110

---

1. καὶ ταύτην gmn — Ἀκραγαλλίδαι C, *cf.* ed. Lips. — 3. περὶ τἀναθήμ. Schultz, περὶ ἀναθ. A, περὶ τὰ ἀναθ. g, τὰ ἀναθ. amn — ἠσέβουν: ἐβλασφήμουν a — 4. ἀμφικτύονας γυναῖκας δὲ ἥρπαζον καὶ ἐλῄστευον gm² — γινομένοις A, γενομένοις gmn, γεγενημένοις a — 5. λέγονται A — οἱ ἡμέτεροι προγ. k, οἱ πρόγονοι a — 6. ἔπειτα δὲ B — 9. Ἀκραγαλλίδαις C — 10. καὶ τὴν πόλιν *add.* A — 11. ἠνδρα-ποδισμένους A — 12. Προναίᾳ Stanley Harp. 158, Προνοίᾳ C (καὶ Πρ. a) — 14. ἄλλους e — τοῦτον *add.* A[b]. — 16. *post* γνώμην C *add.*: ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν (σοφίαν a) διατετριφότος, *del.* W — ἐναγεῖς: *cf.* Harp. et Suid. s. v. ἐναγής — 17. πολλὴν A, ἱκανὴν B — 19. τοὺς λιμένας B — ἔχωσαν *om.* A — πόλιν W, πόλιν αὐτῶν C — 20. χώραν W, χώραν αὐτῶν C — ἀφιέ-ρωσαν g — 21. ἐργάσεσθαι Bekk., ἐργάζεσθαι A, ἐργάσασθαι B — 22. ἄλλον e — ἐπιτρέπειν A — 23. καὶ χειρὶ .. ἀρᾷ (99, 2) *om.* A — καὶ φωνῇ *add.* Tur. — 24. τὸν ὅρκον W, τὸν ὅρκον μόνον gmn, μόνον τὸν ὅρκον aA.

ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ, „εἴ τις τάδε“ φησὶ „παραβαίνοι ἢ πόλις ἢ ἰδιώτης ἢ ἔθνος, ἐναγὴς“ φησὶν „ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος
111 καὶ τῆς Λητοῦς καὶ Ἀθηνᾶς Προναίας.“ καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν μήτε γυναῖκας τίκτειν γονεῦσιν ἐοικότα ἀλλὰ τέρατα, μηδὲ βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧτταν δὲ εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορᾶς, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένος ἐκείνων. „καὶ μήποτε“ φησὶν „ὁσίως θύσειαν τῷ Ἀπόλλωνι μηδὲ τῇ Ἀρτέμιδι μηδὲ τῇ Λητοῖ μηδ᾽ Ἀθηνᾷ
112 Προναίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά.“ ὅτι δ᾽ ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν.

### ΜΑΝΤΕΙΑ.

[Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
πρίν γε θεοῦ τεμένει κυανώπιδος Ἀμφιτρίτης
κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ᾽ ἀκταῖς.]

ἀκούσατε τῆς ἀρᾶς.

### ΑΡΑ.

Ἀναμνήσθητε τῶν ὅρκων οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.

### ΟΡΚΟΙ.

113 Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν, ἄνδρες

5. τῆς *add.* Schultz, *cf.* 111. 121 — Προνοίας C (καὶ προν. a) — καὶ *om.* l — ἐπεύχεσθαι A — 6. μηδὲ γῆν mn — τίκτειν W, τίκτειν τέκνα el, τέκνα τίκτειν x — 7. μήτε gn — 8. εἶναι W, εἶναι αὐτοῖς A, αὐτοῖς εἶναι B — 9. ἀγορῶν B — καὶ *post* εἶναι *om.* el — 10. τὸ ἐκείνων B, οἰκείων el — θύσειαν F, θύσειεν A, θύσαιεν B (θῦσαι n) — 11. μηδ᾽ B, μήτε τῇ el, μήτε k — 12. Προνοίᾳ C — αὐτοῖς m — 14. ΜΑΝΤΕΙΑ *ceterosque titulos disposuit* Scheibe, Agm *titulos habent post* συνώμοσαν: μαντεία ὅρκοι ἀρά, *deest* μαντεία *in* a — 15—17. *Versus om.* n — 15. δὲ πόλιος a — ἐρίψετε klm, ἐρρίψετε e — 16. γε B, τε k, *om.* el — τεμένει Tur., *cf.* Paus. X 37, 6, τεμένη B 17. ποτικλύζει A — κελαδοῦν m, κελαδον Agn, κέλαδος a — 21. ὤμοσαν k — 24. γενομένης ek, γε B, *om.* l — 25. ἀμφίσσης k, ἀμφισεῖς a.



παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. χειροτονηθεὶς γὰρ 114
ὑφ᾽ ὑμῶν πυλάγορος λαμβάνει δισχιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιεῖσθαι. διωμολογήθη δ᾽ αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσιν ἐκ τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ᾽ ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον· ὅθεν ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἢ ἰδιώτου ἢ δυνάστου ἢ πόλεως [δημοκρατουμένης], τούτων ἑκάστους ἀνιάτοις συμφοραῖς περιβάλλειν. σκέψασθε δὴ τὸν δαίμονα καὶ 115
τὴν τύχην ὡς περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν ἐξ Οἴου καὶ τρίτον δὴ μετὰ τούτων ἐμέ. συνέβη δ᾽ ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα πυρέττειν· τὸ δ᾽ αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ Μειδίᾳ. οἱ δ᾽ ἄλλοι συνεκάθηντο Ἀμφικτυόνες. ἐξήγγελτο δ᾽ ἡμῖν 116
παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας

4. πυλαγόρῶν n — 5. διέφθειρον k — ἦν *om.* gmn — 6. ἡμῶν e — πυλαγόρας C — χιλίας B — 7. ἀμφισέων a — τοῦ A, ὑπὲρ τοῦ B, *cf.* § 91 — 8. ποιεῖσθαι $A^h$, ποιήσασθαι B — 9. ἀποστέλλεσθαι A — 10. εἴκοσιν ἐκ $A^h$, εἴκοσι B — 11. ἀμφισεῦσιν a — 12. ἔτι *om.* B — 13. ἢ ἰδιώτου W, ἢ ἀνδρὸς ἢ ἰδιώτου A, ἀνδρὸς ἰδ. B, ἀνδρὸς ἢ ἰδ. M — 15. συμφοραῖς $A^h$, κακοῖς B, *cf.* ad § 226 — ἐπιβάλλειν a — 16. ὡς B, ὅσῳ A — 19. ἀγυρράσιον kl — ὧν a — 20. ἕνεκεν B — ἐξ Οἴου $A^h$, Λέσβιον B — δὴ W, δὲ C — 21. δ᾽ B, δὴ A — 22. τὸν *om.* B — *ante* πυρέττειν C *add.* Διόγνητον, *del.* W — 23. συμπεπτώκει el — 24. ἐξήγγελτο W, ἐξηγγέλλετο C — 26. ἀμφισεῖς a, ἀμφισσῆς (εῖ *supra*) k.

πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τὸν Ἀθηναίων, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκεν πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξαράσασθαι καὶ ἐπέγραψεν τὸ προσῆκον ἐπίγραμμα „Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο." μεταπεμψάμενος δ' ἐμὲ ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτυόνας ὑπὲρ τῆς πόλεως, καὶ
117 αὐτὸν οὕτω προῃρημένον. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον τῶν ἄλλων πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καὶ ὡς ἐμοὶ ἐφαίνετο οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν προαγομένου, „ἀρχὴν δέ γε" ἔφη „ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε οὐδ' ἂν ὠνομάζετε τοὔνομα τοῦ δήμου τοῦ Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέ-
118 ραις, ἀλλ' ὡς ἐναγεῖς ἐξείργετ' ἂν ἐκ τοῦ ἱεροῦ." ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας ἣν ὁ Κρωβύλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει, ἃ ἐγὼ οὔτε τότ' ἐκαρτέρουν ἀκούων οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δὲ οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῄει δ' οὖν μοι μνησθῆναι τῆς τῶν Ἀμφισσέων παρανοίας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτυό-

1. τάλαντα e — τὸν Ἀθ. M, τῶν Ἀθ. C — 2. ἀνέθηκεν Harp. 74, ἀνέθεκεν l, ἀνέθεμεν Bek. — 3. ἐξαράσασθαι el Harp., ἐξαρέσασθαι k, ἐξειργάσθαι B — ἐπέγραψεν W, ἐπεγράψαμεν C — 4. καὶ Θηβαίων om. l — 5. δ' ἐμὲ Bekk., δέ με $A^h$, B pronomen om. — 7. εἰπεῖν .. συνέδριον (9) om. $A^b$ — 8. προειρημένον a, προῃρημένου ποιεῖν g — 9. εἰς τὸ συνέδριον del. F — 10. πυλαγορῶν el — καθεστηκότων hl — 11. ἄνθρωπος τῶν ἀμφισέων a — 13. αὐτὸν προαγομένου B — γε om. gmn — 14. ἄνδρες om. a — ἐφρονεῖτε e — ὠνομάζετε $A^h$, ὠνομάζετο B — 15. ὄνομα hl — τοῦ Ἀθ. ek, τῶν ἀθ. Bl — 16. ἐξείργετ' ἂν A, ἐξήγετε B — 17. κρωβύλος kgn, κροβύλης el, κρώβυλος x — 19. διεξῄει ekh, διεξῄει λέγων Bl — 22. τοὺς ἄλλους μὲν gmn — ἐπῄει $A^h g^2 m^2$, ἐπῆλθε B — 23. οὖν ante μοι add. A — οὖν μοι: add. C ἐπὶ τὴν γνώμην del. Baiter — τῆς τῶν Ἀμφ. παρανοίας W, τῆς τ. Ἀ. περὶ τὴν ἱερὰν γῆν παρανομίας (ἀσεβείας e) $A^h$, τῆς τ. Ἀ. ἐπὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας B.



σιν· ὑπόκειται γὰρ τὸ Κρισαῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν εὐσύνοπτον. „ὁρᾶτ'," ἔφην ἐγώ, „ὦ ἄνδρες 119
Ἀμφικτυόνες, ἐξειργασμένον τουτὶ τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὔλια· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τούτους αὐτοί, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπρακότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος." ἅμα δὲ ἀναγιγνώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ τὸν ὅρκον τῶν προγόνων τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην ὅτι „ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τοῦ σώ- 120
ματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς ἂν δύνωμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ' ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δὲ ποίᾳ φωνῇ 121
ποίᾳ ψυχῇ ποίοις ὄμμασι τίνα τόλμαν κτησάμενοι τὰς ἱκετείας ποιήσεσθε παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. οὐ γὰρ δι' αἰνιγμῶν ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων ἃ χρὴ παθεῖν αὐτοὺς καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τὸ τελευταῖον [ἐν τῇ ἀρᾷ γέγραπται]· μηδ' ὁσίως, φησί, θύσειαν οἱ μὴ τιμωροῦντες τῷ Ἀπόλλωνι μηδὲ τῇ Ἀρτέμιδι

1. ὑπέρκειται a, ὑπέκειτο gmn — Κρισαῖον W, Κιρραῖον C — 2. ἄνδρες om. a — 3. ἐπειργ. Herw. — τουτὶ A, τοῦτο B — 4. κεράμεια kl, κεραμια c — αὐλία e Harp., sed cf. Herodian. I 360 — 7. πεπρακότας H, πεπραχότας C — 10. διοριζομένην eh — 12. τῶν om. $A^h$ — 13. τὸν προγόνων ὅρκον elh, τὸν τῶν προγ. ὅρκον k — καὶ ante χειρὶ om. $A^h$, cf. § 109 — 14. ἂν δύνωμαι $A^h$, δύναμαι B — 17. καινὰ el, κοινὰ a — παρέστη $A^h$ — τὰ θυμ. W, τὰ θυμ. τοῖς βωμοῖς $A^h$, τοῖς βωμ. τὰ θυμ. B — αἰτεῖν om. e — τοῖς θεοῖς e — 18. δὴ k — 19. ψυχῇ .. φωνῇ a — τίνα] ποίαν e — 20. ἱκετείας ekh, οἰκετείας l, ἱκεσίας B — παρέντες W, παρ. τούτους $A^h$, τούτους παρ. B — 21. τοὺς ἀραῖς B — αἰνιγμῶν A, αἰνιγμάτων B — 23. τῶν om. e — τὸ add. W, cf. 245 — 24. ἐν τῇ ἀρᾷ γέγρ. del. H — μηθ' C, em. Bekk. Vat. — φησὶ om. B, habet post τίμωρ. — θύσειεν (αι supra) l, θύσομεν e, θύσαιεν x.

μηδὲ τῇ Λητοῖ μηδ᾽ Ἀθηνᾷ Προναίᾳ, μηδὲ δέξαιντο αὐ-
122 τῶν τὰ ἱερά.“ τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ
διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην
ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν
Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων
ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ᾽ ἤδη περὶ τῆς τῶν Ἀμφισσέων
τιμωρίας. ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης προελθὼν ὁ
κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ δίετες ἡβῶσι, καὶ δού-
λους καὶ ἐλευθέρους, ἥκειν εἰς αὔριον ἔχοντας ἄμας καὶ
δικέλλας πρὸς τὸ Θυτεῖον ἐκεῖ καλούμενον· καὶ πάλιν ὁ
αὐτὸς κῆρυξ ἀναγορεύει τοὺς ἱερομνήμονας καὶ τοὺς πυ-
λαγόρους ἅπαντας ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσον-
τας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· „ἥτις δ᾽ ἂν μὴ παρῇ
πόλις, εἴρξεται τοῦ ἱεροῦ καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ
123 ἔνοχος.“ τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρη-
μένον τόπον καὶ κατέβημεν εἰς τὸ Κρισαῖον πεδίον, καὶ
τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες
ἀνεχωροῦμεν. καὶ ταῦτα ἡμῶν πραττόντων οἱ Λοκροὶ οἱ
Ἀμφισσεῖς, ἑξήκοντα στάδια ἄπωθεν οἰκοῦντες [Δελφῶν],
ἧκον ἐφ᾽ ἡμᾶς μεθ᾽ ὅπλων πανδημεί· καὶ εἰ μὴ δρόμῳ
μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπο-
124 λέσθαι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος ὁ τὰς γνώμας
ἐπιψηφίζων ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· [ἐκκλη-
σίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ μόνον τοὺς πυλαγόρους
καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συν-

5. ὁ *add.* A[h] — 7. δὲ: γὰρ e — ὄντος H, *del.* Herw. — προελθὼν Markl., προσελθ. C — 8. εἶπε a — δίετες Lehrs, *cf.* Herodian. I 81, II 687, διέταις l, διετὲς x — 9. ἥκειν εἰς αὔριον W, ἥκειν αὔριον ἅμα τῇ ἡμέρᾳ A[h], αὔριον ἥκ. ἅμα τῇ ἡμέρᾳ g, ἥκ. ἅμα τῇ ἡμέρᾳ amn — ἅμα el, ἅμας x — 10. μακέλλας a — Θύτιον Harp. — 11. ἀναγορεύει A[h], ἀνηγόρευε B — τοὺς *ante* πυλ. *add.* ek, *cf.* 124 — 12. ἅπαντας *add.* A — τόπον τοῦτον e — 15. ὑστεραίᾳ ἡμέρᾳ A[h] — ἔσωθεν A[h] — 16. Κιρρ. C — 18. καὶ ταῦτα A[h], ταῦτα δὲ B — 19. ἄπωθεν a, ἄποθεν x, *cf.* § 100 — 20. ἦλθον A[h], *fort.* ἐπήεσαν *vel* ἐπῇσαν *in archetypo fuerat* — ἐφ᾽ ἡμᾶς A[h], πρὸς ἡμ. B — ἡμᾶς *om.* n, *fort. rectius* — πανδημὶ A[h], *cf.* Herodian. I 505. II 464 — 21. ἂν *om.* B — 24. ὅταν τις μὴ .. συγκαλέσῃ A[h], *mihi ista explanatio vulgaris consuetudinis ut apud Athenienses proposita satis absurda videtur. Del. etiam* Herw.



θύοντας καὶ τοὺς χρωμένους τῷ θεῷ.] ἐνταῦθα δὴ πολ-
λαὶ μὲν τῶν Ἀμφισσέων κατηγορίαι, πολὺς δ᾽ ἔπαινος
κατὰ τῆς ἡμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου
ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης
πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα καθ᾽
ὅ τι δίκην δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν
καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτυόνας ἐξήμαρτον.
ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν [ὁ γραμματεὺς] τὸ
ψήφισμα.

## ΨΗΦΙΣΜΑ.

Τοῦ δόγματος τούτου ἀποδοθέντος ὑφ᾽ ἡμῶν τῇ 125
βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ, καὶ τὰς πράξεις ἡμῶν
ἀποδεξαμένου τοῦ δήμου καὶ τῆς πόλεως ἁπάσης προαιρου-
μένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήμα-
τος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος καὶ ἐμοῦ φανερῶς
ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν
πόλιν ἄνθρωπος οὐκ ἐδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ
βουλευτήριον, μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται
προβούλευμα, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· 126
τὸ δ᾽ αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφι-
σθῆναι καὶ γενέσθαι δήμου ψήφισμα, ἀπεληλυθότος ἐμοῦ,
οὐ γὰρ ἄν ποτε ἐπέτρεψα, καὶ τῶν πλείστων δὴ ἀφειμέ-
νων· οὗ τὸ κεφάλαιόν ἐστι „τὸν ἱερομνήμονα“ φησὶ „τὸν
Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας
πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμέ-

1. θύοντας A[h] — τοὺς *add.* A[h] — ἐνταῦθα δὴ W, ἐνταῦθα δὲ a, ἐνταῦθ᾽ ἤδη x — 2. τῶν Ἀμφ. κατηγ. W, τῶν Ἀμφ. ἐγίνοντο κατηγ. A, ἐγίνοντο τῶν Ἀμφ. κατηγ. B — ἔπαινος n, ἔπαινος ἦν x — 3. ὑμετέρας gn — τοῦ συλλόγου Herw. — 5. ἐν τῷ elh, *cf.* 129 — ἔχοντες amn — 6. δίκην klh, δίκας x — 8. ἀνάγνωθι e — 11. ἀποδοθέντος B, ἀναγνωσθ. A[h] — ἡμῶν A, ἡμῶν ἐν B — 12. *post* ἐκκλ. C *add. praeter* a: τῷ δήμῳ — 13. πάσης B — 17. ἄνθρωπος C, *em.* Tur. — ἐδύνατο e, ἠδύν. x — 18. μεταστησ. A[h], καὶ μεταστ. B — 19. *post* προβ. *add.* C: εἰς τὴν ἐκκλησίαν, *del.* D — 20. ἐν *om.* gmn — 21. δήμῳ[ου] ψηφ. a, *del.* δήμου S — *post* ψήφ. *add.* in A[h]: ἐπ᾽ ἀναστάσει τῆς ἐκκλησίας, *in* B: ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, *del.* D, ἤδη δ᾽ ἐπ᾽ ἀναστάσει τῆς ἐκκλησίας οὔσης H — 22. πλείστων klh, πολλῶν x — δὴ ἀφ. W, διαφ. C. — 23. τὸν gm, τῶν *ante* Ἀθ. x — 24. εἰσαεὶ gmn.

νοις χρόνοις ὑπὸ τῶν προγόνων,“ εὐπρεπῶς γε τῷ ὀνό-
ματι ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλο-
γον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ
127 καθήκοντος ἔμελλε χρόνου γίγνεσθαι. καὶ πάλιν ἐν τῷ
αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον
πρόσταγμα γράφει „τὸν ἱερομνήμονα“ φησὶ „τὸν Ἀθη-
ναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ
μετέχειν τοῖς ἐκεῖσε συλλεγομένοις μήτε λόγου μήτε ἔρ-
γου μήτε δόγματος μήτε πράξεως μηδεμιᾶς.“ τὸ δὲ μὴ
μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω ἢ τὸ ἥδιστον ἀκοῦ-
σαι; τὸ ἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λέγειν οὑ-
τωσὶ τὴν πόλιν διατέθεικεν. οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρ-
κων οὓς ἡμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς οὐδὲ
τῆς τοῦ θεοῦ μαντείας.

128 Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κατεμείναμεν διὰ
τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτυόνες συνελέγησαν
εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα
εἴποιμι μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς
μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες ἐψηφίσαντο ἐπι-
στρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο
Κόττυφον τὸν Φαρσάλιον τὸν τότε τὰς γνώμας ἐπιψηφί-
ζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ'
οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μα-
κρὰν ἀπόντος· ὃν αὐτίκα μάλα τολμήσει λέγειν Δημο-
129 σθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. καὶ παρελ-
θόντες τῇ πρώτῃ στρατείᾳ καὶ μάλα μετρίως ἐχρήσαντο
τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων
χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτ' ἐν ῥητῷ χρόνῳ
προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν ἐναγεῖς καὶ
τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐ-

2. καὶ αἰσχρῶς n — 6. πρόσταγμα $A^b$, σύγγραμμα B — τὸν Ἀθ. W, τῶν Ἀθ. C — 8. ἐκεῖσε $A^h$, ἐκεῖ B, *cf.* Andoc. I 133 — μὴ B — λόγων .. ἔργων .. δογμάτων B — 10. πότερον $A^h$ — τἀληθὲς e, τὸ ἀληθὲς x — 11. λέγειν W, λεγόμενον C, *fort.* λέγειν οἶμαι. — 12. διέθηκεν B — 13. ὤμοσαν οἱ πρόγονοι $A^h$, *vitium subesse videtur* — 18. αὐτοῖς l — 20. τοὺς *om.* l — 21. ψηφίζοντα l — 23. ἐν *pr. om.* n — παριόντες e — 24. τολμήσειε B — 29. προειπὼν klh.



σέβειαν φεύγοντας κατήγαγον. ἐπειδὴ δὲ οὔτε τὰ χρή-
ματα ἐξέτινον τῷ θεῷ τούς τ' ἐναγεῖς κατήγαγον καὶ
τοὺς εὐσεβεῖς ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν στρα-
τείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, ἐπανεληλυθότος
Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν
θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ὑμῖν παραδεδωκό-
των, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενη-
μένης.

Ἀλλ' οὐ προὔλεγον, οὐ προὐσήμαινον οἱ θεοὶ φυλά- 130
ξασθαι, μόνον γε οὐκ ἀνθρώπων φωνὰς προσκτησάμενοι;
οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ
μὲν τῶν θεῶν σῳζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων
ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν
σημεῖον, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμει-
νιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελ-
φοὺς ἐπερησομένους τὸν θεὸν ὅ τι χρὴ πράττειν, Δημο-
σθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυθίαν φάσκων,
ἀπαίδευτος ὢν καὶ ἀπολαύων καὶ ἐμπιμπλάμενος τῆς
δεδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας; οὐ τὸ τελευταῖον 131
ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν ἐξέπεμψε
τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοι
πρῴην γέ ποτε ἀπετόλμα λέγειν, ὅτι παρὰ ταῦτο Φίλιπ-
πος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ
καλὰ τὰ ἱερά. τίνος οὖν σὺ ζημίας ἄξιος τυχεῖν, ὦ τῆς
Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν
τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά,
σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι πρὶν καλ-

1. φεύγοντας $A^b$, φυγόντας B — οὐδὲ B — 3. καὶ κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ek, κατ. δ. τ. Ἀ x, *del.* W — ἐξέβαλον εἰς χερόνειαν g — 4. δευτ. ἐπὶ τοὺς Ἀμφισσέας στρ. A, δευτ. στρ. ἐπὶ τοὺς Ἀμφισσεῖς B, *em.* S. — 6. ὑμῖν ek, ἡμῖν x — 9. προεσ. ἡμῖν B — 10. γε *om.* B, *del.* Bake — 14. *post* σημ. *add. in* C: φυλάξασθαι, *del.* Baiter — μισθῶν elh — τελετή lgh — 18. ἐμπιμπλ. F, ἐμπιπλ. C — δεδομένης $A^h gm^2$, διδομ. x — 20. ὄντων τῶν ἱερ. A, τῶν ἱερ. ἄντων B, *cf.* § 152 — ἐξέπεμπε gmn — 22. πρώην γέ ποτε klh, πρώην γε e, γε πρώην B — ἀπετόλμα $A^h$, ἀπετόλμησε B — 23. ἡμῶν εἰς τὴν χωρ. klh, εἰς τὴν τῶν κρατουμένων χωρ. e, ἡμῶν ἐπὶ τ. χ. B — 24. εἰ σὺ ζημ. ἄξ. $A^h$, ζημ. ἄξ. εἰ B, *em.* W.

λιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας, πότερον στεφανοῦ-
σθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις ἢ ὑπερωρίσθαι;
132 Τί γάρ τοι τῶν ἀπροσδοκήτων ἐφ᾽ ἡμῶν οὐ γέγονεν;
οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ᾽ εἰς
παραδοξολογίαν τοῖς μεθ᾽ ἡμᾶς ἔφυμεν. οὐχ ὁ μὲν τῶν
Περσῶν βασιλεύς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσπον-
τον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολ-
μῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάν-
των ἀνθρώπων ἀφ᾽ ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν
οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται ἀλλ᾽ ἤδη
περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶ-
μεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμο-
133 νίας ἠξιωμένους, οἳ καὶ τὸ ἱερὸν ἠλευθέρωσαν; Θῆ-
βαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ᾽ ἡμέραν μίαν
ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως,
περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν
γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως
ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δ᾽ οἱ τα-
λαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμά-
των ἐξ ἀρχῆς οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγε-
μόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπί-
δειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπε-
σθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὅ τι ἂν
ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημέ-
134 νου μετριότητι κριθησόμενοι. ἡ δ᾽ ἡμετέρα πόλις, ἡ
κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρό-
τερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι
παρ᾽ ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ

1. πότερα A — 3. τί γάρ τοι elh, τοιγάρτοι τί x — τῶν ἀνελπίστων καὶ ἀπροσδ. B — 4. ἀπανθρώπινον lh — 5. τοῖς μεθ᾽ ἡμᾶς Co, τοῖς μεθ᾽ ἡμ. ἐσομένοις klh, τοῖς μ. ἡ. ἐσόμενοι e, τοῖς ἐσομένοις μεθ᾽ ἡμ. B — τῶν μὲν a — 6. ἄθων h — 9. ἡλίου δυομ. A[h] — 10. ἑτέρων om. B — 13. τὸ ἱερὸν A[h], τὸ ἐν Δελφοῖς ἱερὸν B — Θῆβαι κτλ., cf. Rh. Sp. I 358. 406. 397. III 97. 99. 319 — 14. Θῆβαι om. a — ἀστυγειτόνων elh, cf. Din. I 24 — 17. νεοβλαβ. elh — 18. χρησάμενοι n — 20. ἀρχῆς: add. C περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν. del. D — 21. ὁμηρεῦντας Phot. Lex., ὁμηρεύοντας Harp. Suid. — 25. κριθήσονται B — 28. ὑμῶν A.



τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται ἀλλ᾽ ἤδη περὶ
τοῦ τῆς πατρίδος ἐδάφους. καὶ ταῦθ᾽ ἡμῖν συμβέβηκεν
ἐξ ὅτου Δημοσθένης εἰς τὴν πολιτείαν παρελήλυθεν. εὖ
γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται.
λέγει γάρ που παιδεύων τὰ πλήθη καὶ συμβουλεύων
ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέ-
χεσθαι. λέξω δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς 135
παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν᾽
ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μητιάαται.
τοῖσιν δ᾽ οὐρανόθεν μέγ᾽ ἐπήγαγε πῆμα Κρονίων,
λοιμὸν ὁμοῦ καὶ λιμόν, ἀποφθινύθουσι δὲ λαοί·
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ γε τεῖχος,
ἢ νέας ἐν πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς.

ἐὰν περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον τὰς γνώμας ἐξε- 136
τάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι,
ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ
ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρ-
πασμέναι ἐκ τῆς τούτου πολιτείας.

Ἀλλ᾽ οἶμαι οὔτε Φρυνώνδας οὔτε Εὐρύβατος οὔτ᾽ 137
ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος
καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄν-
θρωποι ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν
βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν
συμμαχίαν ὑμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐδὲ διὰ
τὸν φόβον τὸν περιστάντα αὐτούς, οὐδὲ διὰ τὴν ὑμετέ-
ραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. καί- 138

2. ὑμῖν B — 3. εἰς ekh, πρὸς x — παρελήλυθεν h, προεληλ. el, προσεληλ. Bk, cf. var. 143. 154 — 7. γὰρ a (δὲ) — ἡμ. παῖδας ὄντας Agmn, παῖδας ὄντας ἡμᾶς a — 10. Hes. E 240—47, cf. II 158 — δὲ n — 11. ὃς μὲν n — ἀλιταίνῃ ck — μηχανάαται B — 12. μέγ᾽ ἐπήγαγε πῆμα h, μέγα πῆμα ἔδωκε A, μέγα πῆμα δῶκε B — 13. λοιμὸν .. λιμὸν ek, λιμὸν .. λοιμὸν Bl — 14. τόν γε gn, ὅ γε A, ὃ om. a — 15. νέας a, νῆας x — ἐν ae, ἐνὶ x — ἀποτίνυται M, τείνηται A, τίνυται B — 16. ἐὰν δὲ B — 22. πάλαι om. B — 25. ἡμέτερα A — 26. ἡμῖν C — οὐδὲ W, Markl., οὐ C — 27. οὐδὲ Agmn, οὐ ah.

τοι πολλὰς μὲν πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων ὁ Ἑρχιεύς, πρόξενος ὢν 139 Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος ἀλλ' ἔμοιγε καὶ ἡδίων, Ἀρχέδημος ὁ Πήληξ, [καὶ δυνατὸς εἰπεῖν καὶ] πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους, Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, Πύρρανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν 140 δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. ἀλλ' οἶμαι ἐπειδὴ Φίλιππος ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς Βοιωτῶν, τοῦτον πάλιν ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. ὁ 141 δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας ἀλλ' οὐ Δημοσθένης, ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε, πρῶτον μὲν ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα

---

1. πρότερον a, πρότ. τούτου A, τούτου πρότ. gmn — 2. *post* πρῶτος μὲν *add.* A: οὗτος στρατηγὸς — κολυττεὺς B — 4. ἀρχιεὺς ac, ἀρχιερεὺς lh — 5. εἶτα λεωδάμας c — 6. *post* ἡδίων A: ῥήτωρ καὶ οὗτος — 7 καὶ *ante* δυν. *om.* n — εἰπεῖν ὃς n, εἰπεῖν ὡς agm — 8. Ἀριστ. Bekk., δημαγωγὸς Ἀριστ. C — 9. 10. πύρανδρος kl — 14. ἀφελ. W, ἀφελ. αὐτῶν A$^h$, αὐτῶν ἀφελ. B — 15. ον … πόλεμον *om.* elh$^1$ — τῆς Βοιωτ. a, τῶν Βοιωτ. khgmn, τῆς τῶν Βοιωτ. M — 16. πάλιν Mead. Taylori, Herw., πάλιν τὸν αὐτὸν πόλεμον C — 20. Θήβας] πόλεις gmn — διεσκ. W, ἐν τοῖς ὅπλοις διεσκ. C — 21. καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοὶ B, *cf.* § 88 — 23. ἡμᾶς A$^h$ — 24. *fort. ut* 239 συμμάχων — 25. τὰ *om.* cl — 27. ἡμῖν A$^h$.



δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αὑτοῦ πρεσβείας πρῶτον μὲν συνέπεισε τὸν 142 δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον εἰ γίγνεται, τοῦτο δὲ προλαβὼν ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν, ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς ἐπεπόνθεσαν ἀγανακτήσοντας· δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμά- 143 των τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ὑμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. καὶ ταῦτ' οὐκ 144 ἐγὼ μὲν κατηγορῶ ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω καὶ πάντες ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

Δεύτερον δὲ καὶ πολὺ τοῦτο μεῖζον ἀδίκημα ἠδίκη- 145 σεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημο-

---

3. γίγνεσθαι A$^h$ — 5. ποιήσασθαι A$^h$ — 6. εἴ τις elh — 7. πᾶσαν B — 9. πόλις W, πόλις ἀπὸ Θηβαίων C — 12. 13. ἀγαπήσοντας .. ἐπεπόνθεσαν *om.* a — 13. πεπόνθεσαν B — 17. τὴν μὲν glh — μὲν *om.* g — θάλασσαν gmn — 18. τὸ: τὴν a — 19. δεῖν klh — 20. ὥστε: ὅθεν lh — παρὰ: πρὸς lh — 21. ἡμετ. C — 26. αὐτοῦ A, τούτου B, τὰ τούτου Tur. — θαυμάζεσθε n — 27. ἀλλ' *om.* n — 29. τοῦτο elh, τούτου x.

κρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς
τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιω-
τάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυνα-
στείαν κατεσκεύασεν, ὥστ᾽ ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρε-
σβεύσειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς
146 ἐκπέμπητε, εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι,
καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν
αὑτῷ ἀντιλέγειν διαδικασίαν ἔφη γράψειν τῷ βήματι
πρὸς τὸ στρατήγιον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ᾽ ἑαυ-
τοῦ ἔφη πεπονθέναι ἢ ὑπὸ (πάντων) τῶν στρατηγῶν.
μισθοφορῶν δ᾽ ἐν τῷ ξενικῷ κεναῖς χώραις καὶ στρα-
τιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους
ἐκμισθώσας Ἀμφισσεῦσι πολλὰ διαμαρτυρομένου καὶ
σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων
147 τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ ἂν οἴεσθε
Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν
πρὸς τὴν πολιτικὴν δύναμιν χωρὶς δὲ πρὸς τοὺς ξένους
διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλι-
καύτης πληγῆς προγεγενημένης; καὶ τηλικούτων κακῶν
αἴτιος γεγενημένος Δημοσθένης οὐκ ἀγαπᾷ εἰ μὴ δίκην
δέδωκεν, ἀλλ᾽ εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσε-
ται ἀγανακτεῖ· οὐδ᾽ ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν
κηρύττεσθαι, ἀλλ᾽ εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρη-
θήσεται, τοῦτ᾽ ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ
φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργά-
ζεται συμφοράς.

1. *Ante* εἰς τὴν Καδμείαν *add.* C: εἰς Θήβας, *del.* Co — 4. 5. πρεσβευτὸν elh, πρεσβεύσειν k (?) — 5. ὅποι k, ὅπου elB — 6. αὐτῶν lh — ἀντείπῃ lh — 7. καταδουλομένος e — καὶ *om.* n — 8. αὐτῷ Bkl, ἑαυτῷ e — γράφειν $A^h$ — 9. τὸ: τὸν lh — στρατηγεῖον g, τὴν στρατηγίαν Plut. — 10. *post* ἔφη *add.* B: ἀπὸ βήματος, A: ἀπὸ τοῦ βήματος, *del.* W — *post* στρατηγ. *add.* Aamn: ἐκ τοῦ στρατηγίου, g: ἐκ τοῦ στρατηγείου, *del.* W, vel ὑπὸ τῶν ἐκ τοῦ στρατηγείου vel ὑπὸ πάντων τῶν ἐκ τοῦ στρ. Co, *cf.* Plut. Mor. 350 b. — 11. κεναῖς M, καιναῖς G — τὰ στρατ. B — 13. διαμαρτυρ(ου)μ. h, διαμαρτυρουμένου lgmn, διαμαρτυραμένου k, διαμαρτυρούμενος e — 14. *post* φέρων *add.* A: ἐκ τῶν ἀναρπασθέντων ξένων, B: ἀναρπ. τῶν ξένων, *del.* W — 15. ἂν *om.* lh — 17. χωρὶς δὲ W, χωρὶς δ᾽ ἐν Ἀμφίσσῃ G — 19. προγ. B, γεγενημένης A — 20. γενόμενος A — 21. καὶ μὴ amn — στεφανωθήσεσθαι klh — 22. ἱκανός lh — 24. ἤδη *add.* $A^h$.



Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ 148
μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν
Ἑλλήνων, οὐδ᾽ ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος, ὅτι
περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας μικρῷ μέρει
διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν
εἰρήνην καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν
ἀρχόντων τῶν ἐν Θήβαις, φοβουμένων τὸν ἐπιόντα κίν-
δυνον, εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν
τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ᾽ ὁ Φωκικὸς πόλεμος
δεκέτης γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε,
τούτων δὲ ἐχόντων οὕτως αἰσθόμενος Δημοσθένης, καὶ 149
τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποι-
εῖσθαι χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας,
ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωρο-
δοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων
λέγοντος οὔθ᾽ ὡς δεῖ ποιεῖσθαι εἰρήνην οὔθ᾽ ὡς οὐ δεῖ,
ἀλλ᾽ ὡς κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων ἀνα-
φέρειν αὑτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθη- 150
νᾶν, ἣν ὡς ἔοικε Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ
ἐνεπιορκεῖν Δημοσθένει, ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς
Φίλιππον εἰρήνην ποιήσασθαι ἀπάξειν εἰς τὸ δεσμωτή-
ριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεο-
φῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πο-
λέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ᾽ οὐ προσ-
εῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς
στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυ-
θότας, ἵνα βουλεύσαισθε περὶ τῆς εἰρήνης, ἐνταῦθ᾽ ἤδη 151
παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα
προδότας τῶν Ἑλλήνων ἀπεκάλει, καὶ γράψειν ἔφη ψή-

4. μικρῷ kh, σμικρῷ x — 9. τὰς τάξεις $A^h$ — 10. δεκέτης A, δεκαετὴς B — προγεγενημένος ekh — 11. δὲ *om.* $A^h$ — 12. ἰδίᾳ *om.* $A^h$ — 16. εἰρήνην W, εἰρ. πρὸς φίλιππον a, πρὸς φιλ. εἰρ. x — 17. ὡς W, ὡς ᾤετο G, *fort.* ὡς ἔοικε — κήρυγμά τι Tur., τοῦτο κήρυγμά τι agm, τοῦτο κηρύγματι n, κηρύγματι τούτῳ $A^h$ — 18. αὐτῷ B, ἑαυτῷ A — 23. πρὸς τοὺς a — 26. ἀνέτρεψαν elh — 27. βουλεύσαισθε S, βουλεύσησθε G — ἤδη *add.* $A^h$ — 29. ἀπεκάλει $A^h$, ἀπεκάλεσε B, *ante hoc verbum add.* B, *post idem verbum add.* $A^2$ τοὺς βοιωτάρχας, *del.* W — γράψειν ἔφη B, γράφει $A^h$, *fort. rectius.*

φισμα ὃ τοῖς πολεμίοις οὐδεπώποτ᾽ ἀντιβλέψας πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας αἰτήσοντας δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

152 Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἂν δ᾽ οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, ἢ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε,

153 καὶ ἡ ὑμετέρα μνήμη; γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ ἀλλ᾽ ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ᾽ ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίγνεσθαι, καὶ λογίσασθε πότερ᾽ οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς πάθεσι τοῖς μετὰ ταῦτ᾽ ἐπεισιοῦσιν ἢ ἐπὶ τῇ

154 τῆς πόλεως ἀγνωμοσύνῃ. τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθερίως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ

1. οὐδεπώποτ᾽ $A^h$, οὐδέποτ᾽ B — 2. αἰτήσ. W, αιτησ. θηβαίους C — 3. ἐν ταῖς θήβαις $A^h$, *fort.* οἱ ἄρχοντες — 5. ἀπετρέποντο B — 7. τῶν ἀνδρῶν τῶν ἀγαθῶν $A^h$, *fort.* ἀγαθ. *delendum* — 11. τὸν τάφον W, τὸν τάφ. τῶν τελευτησάντων A (τὸν τῶν k), τὸν τάφ. τῶν τετελευτηκότων B — 12. σπουδαῖα τῶν πραγμάτων M, σπουδαῖα πάντων Ag, σπουδαῖα τῶν amn, *cf.* Rhet. Speng. III 36. 169. 186 — 13. τοῖς *om.* g. Alex. Zon. — 14. ἐπιχειρήσεις R, ἐπιχειρήσειν ἐθέλεις A (k?), ἐπιχειρήσειν ἐθελήσεις B — βλέπων *om.* a — 16. ἂν e, ἐὰν x — 16. 17. ὑπομενεῖτε ὑμεῖς g, καὶ ὑμεῖς ὑπομ. h, *vitium subesse videtur* — 17. ἢ W, καὶ C — 18. γίνεσθε δέ hl Alex. III 25 — 21. γενέσθαι B — 24. ἐπιοῦσιν klh — 26. ἢ καὶ B — ἐλευθερίως Co, ἐλευθέρως C.



τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίγνεσθαι, ὅτ᾽ εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔθρεψε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. τότε μὲν ταῦτ᾽ ἐκήρυττεν ἀλλ᾽ οὐ νῦν, 155

ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ᾽ ἀνερεῖ; καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ᾽ οὐ τό γ᾽ ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κάκιστον, ἀνδραγαθίας τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. μὴ πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, 156

τρόπαιον ἵστατε ἀφ᾽ ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ᾽ αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τὸν Ἀθηναίων, μηδ᾽ ὑπομιμνήσκετε τῶν ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τείχη καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασι-

1. νῦν elgh — 3. προελθὼν k, παρελθὼν elh, προσελθὼν B — 6. πρὸς: εἰς gmn, *cf.* I 191; *diversum est* I 135. III 139 — 9. ἔθρεψε Co, ἔτρεφε C — τῇ *om.* a — 10. αὐτῶν e — 13. ἀνερεῖ $n^2$, ἂν αἰρῇ (ἐξ εἰ *superscr.*) k, ἂν ἐρεῖ x, *post hoc verbum add.* A: ἢ τί ποτε φθέγξεται, B: ἢ τί φθέγξεται, *del.* Co — ἐὰν ae, ἂν x — 14. τά τε ἐκ l — 15. σιωπήσεται M — 17. ὁ ἀθ. M, ἀθ. $A^h$, τῶν ἀθ. B — ἀρετῆς ἕνεκα *ante* εἰ δὴ *ponit* n, *om.* a, ἕνεκα *om.* $A^h$ — 18. ἀνδραγαθίας W, καὶ (*om.* $A^h$) ἀνδρ. ἕνεκα C — 19. Διὸς Co, τοῦ Διὸς C — καὶ θεῶν $A^h$, καὶ τῶν ἄλλων θεῶν B — *Add.* A *post* ὦ ἄ. ἀθην., B *ante* ὦ ἀθ. *haec*: ἱκετεύω ὑμᾶς, *del.* Co — 20. τρόπ. $A^h$, μὴ τρόπ. B — ἀφ᾽ (καθ᾽ *superscr.*) gmh — 21. παρανομίας e — 22. τὸν ἀθ. W, τῶν ἀθ. C — τῶν ἀνηκ. Hirsch., τῶν ἀνιάτων καὶ ἀνηκ. C, *cf.* Hesych. — 24. τούτων ael — ὑποδέδεχε kl, ὑποδέχεσθε mn — τείχη Schultz, τέκνα C, *sed cf.* Polyb. Frg. Heyse p. 65, 8.

157 λικὸν χρυσίον· ἀλλ᾽ ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε,
ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ᾽ αὐτῶν εἰς τὰς συμφο-
ράς, καὶ νομίσαθ᾽ ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν
κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ
παῖδας [εἰς δουλείαν], πρεσβύτας ἀνθρώπους, πρεσβύ-
τιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν,
κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμω-
ρουμένοις ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μη-
δενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ
καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν
158 τῷ ἀνθρώπῳ φυλάξασθαι. οὔτε πόλις οὔτ᾽ ἰδιώτης οὐδεὶς
πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησά-
μενος. ὑμεῖς δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε εἰ
ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας
νόμον ἔθεσθ᾽, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον
ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι,
ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα,
τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα
τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

159 Ἵνα δ᾽ εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν
νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι
βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μό-
νον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως .... τρι-
ήρη προσλαβὼν ὑμῶν, καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε.
καταγαγούσης δ᾽ αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου
σωτηρίας τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄν-
θρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα
ὑμᾶς ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ [κατὰ μὲν τοὺς πρώ-

4. οἴκων Theon. II 63, *idemque add.* ἱερὰ συλώμενα — 4. 5. ἀγομένους παῖδας καὶ γυναῖκας Herw. — 5. πρεσβ. ἄνδρας Herw. — 11. οὔτε πόλις W, οὔτε γὰρ πόλις A, οὔτε πόλις γὰρ B — ἰδιώτης W, ἀνὴρ ἰδ. A, ἰδ. ἀνὴρ B — 15. ἔθεσθ᾽ ἐὰν W, ἔθεσθε ἂν c, ἔθεσθε ἐὰν x — 18. ἀνατετροφότα amnl, ἀνατετραφότα ekg, *cf.* Andoc. I 131 — 19. ἐάσατε mn — ἀπευθύνειν A, ἀπευθ. h, ἐπευθ. B — 23. *Lacunam primus animadvertit* R — 26. ὑπότρομος .. χρόνους (185, 1) *om.* $lh^1$ — ἄνθρ. C — 27. ἡμιθανὴς kmng (?), *cf.* Herodian. I 80 — 28. ἐκέλευε e, αὐτὸν ἐκέλ. Bk, ἐκέλ. αὐτὸν M — κατὰ .. χρ. *del.* Taylor.



τους χρόνους] οὐδ᾽ ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθέ-
νους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσετάτ-
τετε· νυνὶ δ᾽ ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δ᾽ 160
ἐτελεύτησ᾽ ὁ μὲν Φίλιππος, Ἀλέξανδρος δ᾽ εἰς τὴν ἀρ-
χὴν κατέστη, πάλιν αὖ τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο
Παυσανίου, εἰς αἰτίαν δὲ τὴν Ἀθηναίων βουλὴν κατέ-
στησεν, ἐπωνυμίαν δ᾽ Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο,
ἀπετόλμα δὲ λέγειν ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας·
ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ
σπλάγχνα φυλάττοντα. καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκά-
ζων, ἀλλ᾽ ἀκριβῶς εἰδὼς ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία,
αὐτὸς οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ
ἐκ τῆς Ἀλεξάνδρου φύσεως ἀλλ᾽ ἐκ τῆς αὑτοῦ ἀναν-
δρίας. ἤδη δ᾽ ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ 161
τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παρ-
οξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπε-
δον, πρεσβευτὴς ὑφ᾽ ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ
μέσου τοῦ Κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ᾽ ἐν εἰρήνῃ
οὔτ᾽ ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. καὶ τὸ πάν-
των δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ᾽
εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος
δ᾽ ὑμᾶς νυνὶ προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται.
ὡς γάρ φασιν οἱ Πάραλοι καὶ οἱ πρεσβεύσαντες πρὸς 162
Ἀλέξανδρον, καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται, ἔστι τις
Ἀριστίων Πλαταϊκός, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμα-
κοπώλου υἱός, εἴ τις ἄρα καὶ ὑμῶν γιγνώσκει. οὗτός
ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων ᾤκησε πολὺν
χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅ τι δὲ πράττων, ἀμ-

4. ἐτελεύτησ᾽ ὁ μὲν W, ἐτελεύτησε μὲν $A^h$, ἐτελεύτησε B — 6. αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν ἀρχὴν κατ. $A^h$, αἰτ. δὲ εὐαγγ. καὶ θυσίας τὴν βουλὴν κατ. Bl (?), *em.* W — 7. δ᾽ *om.* agm — ἔθετο Harp. — 9. ἔφη ἐν: ἔφησε $A^h$ — 10. ταυτὶ A — 13. αὑτοῦ W, αὐτοῦ e, ἑαυτοῦ x — 14. ἐπεψηφ. gh, ἐπιψηφ. n, ἐπιψηφ. lm — 15. ἡμετέραν $A^hg$ — 16. ἐπεὶ g — 19. ἑαυτὸν: ὡς αὐτὸν l — 20. μὲν οὖν m — 22. νυνὶ $A^h$, νῦν B — προὔδωκεν e — 23. πάραλοι B, παράλιοι A, *cf.* Herodian. I 123, Phot. Lex. 676 — 25. ἀριστείων k — ἀριστοφέλου l, ἀριστοφίλου ekh — 27. ἑταιρῶν B — διαφέρων d, διαφ. γενόμενος C — 28. τοῦ δημ. gh — πράττων W, πάσχων ἢ πράττων A, πράττων ἢ πάσχων B.

φίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ
λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις ποτ'
ἐστὶ καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ
πλησιάζει ἐκείνῳ. διὰ τούτου γράμματα πέμψας ὡς
Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ καταλλαγὰς καὶ πολ-
163 λὴν τὴν κολακείαν πεποίηται. ἐκεῖθεν δὲ θεωρήσατε ὡς
ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ τοι οὕτως ἐφρό-
νει καὶ πολεμικῶς εἶχεν ὥσπερ καὶ φησὶ πρὸς Ἀλέξαν-
δρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν
οὐδενὶ φαίνεται κεχρημένος. εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς
τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος ἀπαρα-
σκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἤκ-
μαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι
καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ὑμᾶς εἰς τὴν συμμαχίαν
προσεδέξατο διὰ τοὺς ἐπιφερομένους αὐτῷ κινδύνους.
εἶπάς τινα ἐνταῦθα λόγον, Δημόσθενες, ἢ ἔγραψάς τι
ψήφισμα; βούλει σε θῶ φοβηθῆναι καὶ χρήσασθαι τῷ
σαυτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς
164 οὐκ ἀναμένει. ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος
κατεβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κι-
λικίᾳ πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα μάλα δ'
ἔμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ
τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ
ἐχώρει καὶ τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύ-
λων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον ὡς
ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκα-
λῶν καὶ κατεστέφθαι φάσκων εἴ τι πταῖσμα συμβήσεται
Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδέν, ἀλλ' εἴς τινα
165 καιρὸν ἀνεβάλου καλλίω. ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα

1. ἔμοιγε lh — 3. καὶ πῶς ποτ' ἐστὶ βεβ. B — 4. πλησιάζων elh — 5. διαλλαγὰς B — 6. τὴν *add.* A[h] — θεωρήσετε A[h] — 7. τὸ *om.* n — τοι A, τι B — οὕτως W, τούτων C — ἐφρόνει W, δημοσθένης ἐφρ. A[h], ἐφρ. δημ. B — 11. τὴν *om.* lh — οὐ *om.* n — ἀκατασκεύων klh — 14. δ' ἂν] ἂν δ' agm — ἡμᾶς A — 15. αὐτῷ a — 18. σαυτοῦ e, αὐτοῦ gam, αὐτῷ l, ἑαυτοῦ x — 20. καταβεβήκει gel — ἐν κιλικίᾳ ἀπειλ. a — 21. δὲ μάλα A[h], *fort.* αὐτίκα δὴ μάλα *deleto paulo ante* ἦν — 22. ἔμελλεν c, ἤμελλεν x — 29. ἀνεβάλου ek, ἀνεβάλλου Bl.



ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. Λακεδαιμόνιοι μὲν
καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ
Κόρραγον στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλοντο
καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληνέων καὶ Ἀρκαδία πᾶσα
πλὴν Μεγάλης πόλεως, αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ'
ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δ' Ἀλέξανδρος
ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης
μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρα-
τόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. ἐνταῦθ' ἡμῖν ἀπό-
δειξιν ποίησαι τί ποτ' ἦν ἃ ἔπραξας ἢ τί ποτ' ἦν ἃ ἔλε-
γες· καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν
εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην 166
ἔχω σοι, ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω. οὐ μέμνησθε
αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς,
ὦ σιδηροῖ, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθὼν
„ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ
κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμά-
των, φορμορραφούμεθα, ἐπὶ τὰ στενὰ τινὲς πρῶτον ὥσ-
περ τὰς βελόνας διείρουσι.“ ταῦτα δὲ τί ἐστιν, ὦ κίνα- 167
δος; ῥήματα ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν
σαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάν-
δρῳ „ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θεττα-
λοὺς καὶ Περραιβοὺς ἀφιστάναι.“ σὺ γὰρ ἂν κώμην
ἀποστήσειας, σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν,

2. μάχης gm² — 3. συμμετεβάλλοντο B — 4 Πελληνέων h Co, πελληναίων x — ἀρκάδα πᾶσαν elh — 5. *malim*: ἡ δέ, αὐτὴ B — 9. ἐνταῦθα δ' gmn — 9. 10. ἀπόδειξιν *om.* elh — 10. ποίησαι *om.* e — *add.* agm: δημόσθενες, klh: ὦ δημ., *om.* e — ἢ B, καὶ A ὃ ἔλεγ. klh — 11. καὶ εἰ . . ἔλεγες (13) *om.* a — σοῦ el — 12. εἴποις A[h]m — 13. νυνὶ A[h], νῦν B — 15. ὦ σιδηροῖ Co, ὡς σιδήρειοι k Aristid., ὡς σιδήρεια el, ὡς σιδήρεα h, ὦ σιδήρεοι B, *cf.* Rhet. Gr. III 12. 26. 91. II 472 — ἔφησε elh — 16. Dionys. Dem. dic. vis VI 1126 — ἀνατετολμήκασι el — τὰ τοῦ egm, *fort.* τοῦ δήμου *delendum* — 17. ὑποβέβληται Herod. III 91 — 19. τοὺς βελῶνας elh — διετίρασι l, διετόρασι h — τί A[h] Dion. Hal., τίνος B — κίναιδος agm — 20. καὶ *om.* elh — 21. σαυτὸν e, σεαυτ. x — 22. συστήσασθαι k — 23. περαιβοὺς klh — σὺ γὰρ: σὺ θετταλοὺς ἀφιστάναι οὐ γὰρ ekh, σὺ θετταλοὺς ἀφιστάναι σὺ γὰρ l — κἂν Herw. — 24. ἀποστήσειας klh, ἀποστήσαις x — ἂν *om.* l.

ἀλλὰ πρὸς οἰκίαν οπου κίνδυνος πρόσεστιν; ἀλλ᾽ εἰ μέν
που χρήματα ἀναλίσκεται, προσκαθιζήσει, πρᾶξιν δὲ ἀν-
δρὸς οὐ πράξεις· ἐὰν δ᾽ αὐτόματόν τι συμβῇ, προσποιή-
σει καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις· ἂν δ᾽
ἔλθῃ φόβος τις, ἀποδράσει· ἂν δὲ θαρρήσωμεν, δωρεὰς
αἰτήσεις καὶ χρυσοῦς στεφάνους.
168 Ναὶ ἀλλὰ δημοτικός ἐστιν. ἂν μὲν τοίνυν εἰς τὴν
εὐφημίαν τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε ὥσπερ
καὶ πρότερον, ἂν δὲ καὶ εἰς τὴν φύσιν καὶ εἰς τὴν ἀλή-
θειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκείνως δὲ ἀπολάβετε παρ᾽
αὐτοῦ λόγον. ἐγὼ μὲν μεθ᾽ ὑμῶν λογιοῦμαι, ἃ δεῖ ὑπάρ-
ξαι [ἐν τῇ φύσει] τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ
πάλιν ἀντιθήσω, ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρ-
χικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς δ᾽ ἀντιθέντες ἑκά-
τερα τούτων θεωρήσατ᾽ αὐτὸν, μὴ ὁποτέρου τοῦ λόγου
169 ἀλλ᾽ ὁποτέρου τοῦ βίου ἐστίν. οἶμαι τοίνυν ἅπαντας ἂν
ὁμολογῆσαι τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν
ἐλεύθερον εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς, ἵνα
μὴ διὰ τὴν περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νό-
μοις οἳ σώζουσι τὴν δημοκρατίαν, δεύτερον δ᾽ ἀπὸ τῶν
προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρ-
χειν, ἢ τό γ᾽ ἀναγκαιότατον μηδεμίαν ἔχθραν, ἵνα μὴ
βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ
170 ποιεῖν τὴν πόλιν. τρίτον σώφρονα καὶ μέτριον χρὴ πε-
φυκέναι αὐτὸν πρὸς τὴν καθ᾽ ἡμέραν δίαιταν, ὅπως μὴ
διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δή-
μου, τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ

1. ὅτου e — 2. προσκαθιζήσει Lobeck, προσκαθίζεις εἰς k, προσκαθίζειν εἰς elh, προσκαθισθήσῃ B — 4. σαυτὸν ἔτι a — ἂν δὲ e, ἐὰν δὲ x — 6. χρυσοῦς στεφάνους W, χρυσοῦς στεφάνους (-οῖς -οις k) ἀξιώσεις στεφανοῦσθαι $A^h$, χρυσοῖς στεφάνοις στεφανοῦσθαι B — 7. ἂν e, ἐὰν x — εἰς eh, πρὸς x — 8. τῶν λόγων W, αὐτοῦ τ. λ. A, τ. λ. αὐτοῦ B — ὥσπερ .. ἐξαπατηθήσεσθε (10) om. l — 9. ἐὰν C — εἰς add. ek — 10. ἀπολάβητε el — 11. λόγον $A^h$, τὸν λόγον B — 13. ποῖόν τι e — 16. προτέρου n — 17. ὁμολογῆσαι W, ὑμᾶς ὁμολογῆσαι $A^h$, ὁμολογήσειν ὑμᾶς B — 18. ἐλεύθερον εἶναι W, αὐτὸν ἐλ. εἶναι $A^h$, ἐλ. αὐτὸν εἶναι B — *alterum* πρὸς om. B — ἵνα τῇ ... ἀτυχίᾳ $A^h$ — 19. περὶ: πρὸς B — 23. ἐπιχειρεῖν l — 27. τέταρτον δὲ gmn — καὶ εὐγν. D.



τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παι-
δείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκού-
οντας· εἰ δὲ μὴ, τήν γ᾽ •εὐγνωμοσύνην ἀεὶ προτακτέον
τοῦ λόγου. πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχὴν, ἵνα μὴ
παρὰ τὰ δεινὰ ἐγκαταλείπῃ τὸν δῆμον. τὸν δ᾽ ὀλιγαρχι-
κὸν πάντα [δεῖ] τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν
διεξιέναι; σκέψασθε δὴ τί τούτων ὑπάρχει Δημοσθένει·
ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.
Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεὺς, ἀνὴρ 171
ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δ᾽ ἀπὸ τῆς μητρὸς
καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει αὐτῷ; Γύ-
λων ἦν ἐκ Κεραμέων· οὗτος προδοὺς τοῖς πολεμίοις
Νύμφαιον τὸ ἐν Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χω-
ρίον τοῦτο, φυγὰς ἀπ᾽ εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο, 172
τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον,
κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνο-
μασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ
Δία καὶ χρυσίον ἐπιφερομένην πολὺ, Σκύθιν δὲ τὸ γέ-
νος, ἐξ ἧς γίγνονται θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο
μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν
ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ᾽
ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθέ-
νης ὁ Παιανιεὺς, ἐξ ἧς ὑμῖν οὑτοσὶ ὁ περίεργος καὶ
συκοφάντης γεγένηται. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου πολέ-
μιος ἂν εἴη τῷ δήμῳ, θάνατον γὰρ αὐτοῦ κατέγνωτε, τὰ
δ᾽ ἀπὸ τῆς μητρὸς Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ·

3. γ᾽: δὲ a, om. $A^h$ — 4. εἶναι B, καὶ αὐτὸν εἶναι A — 5. καὶ τοὺς κινδύνους $A^h$, καὶ τ. πολέμους B, del. W — ἐγκαταλίπῃ A — τὸν δῆμον: τὴν τάξιν a — 6. πάντα δὴ g — 7. ἐξιέναι l — 9. Rhet. Sp. I 439. Walz II 234 — 11. αὐτῶν l — *post* αὐτῷ *add.* B: ἐγὼ φράσω, om. $A^h$ — 12. κεραμέων ἀπόδημος g — 13. νυμφαῖον A, *cf.* Herodian. I 369 — ἐν ela Harp., ἐν τῷ kgmn — 14. ἀπ᾽ εἰσαγγελίας A, om. B — *post* ἐγένετο C *add.*: θανάτου (θανάτῳ e) καταγνωσθέντος αὐτοῦ — 18. σκύθιν k, σκῆθιν l, *cf.* Schol. Herodian. II 852 — 19. γίγνονται W, αὐτῷ γίνονται $A^h$, γίν. αὐτῷ B — 20. στείλας B — συνῴκισε δὲ a — 23. οὑτοσὶ add. W — 24. γεγένηται W, δημοσθένης γεγ. $A^h$a, γεγ. δημ. gmn — πάππου] *add.* B: τοῦ πρὸς μητρὸς, om. $A^h$ — 25. θανάτου c — αὐτοῦ H, αὐτοῦ τῶν προγόνων C — 26. Rhet. W. V 50.

173 ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι. περὶ δὲ τὴν καθ᾽ ἡμέραν δίαιταν τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, καταγελάστως τὰ πατρῷα προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ᾽ ἐκ τῆς πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ, ἔσται δ᾽ οὐδὲ τοῦθ᾽ ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου περιεγένετο· καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται
174 ἀλλ᾽ ἐκ τῶν ὑμετέρων κινδύνων. περὶ δ᾽ εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινὸς λέγειν, κακὸς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιίᾳ ὥστ᾽ ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ᾽ ἔργα φαῦλα.
175 πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνῄδειτε, διατριβὴν ὁ λόγος ἄν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵν᾽ ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ

1. καὶ om. e — 3. τὰ πατρῷα καταγ. προέμ. B — 4. τοῖς λόγοις el — 6. δ᾽ om. n — πολιτείας $A^h$ Nic. Damasc. IV 166 Mein., πόλεως B — ἐποιήσατο n — 7. ἐπικέκληκε gmnhl, cf. etiam Diod. Sic. XVII 4 et Usen. Mus. Rhen. XXV 593. — 9. τρόπου Nic. Dam., πονηροῦ τρ. elh, τρ. πονηροῦ x, cf. Rhet. W IV 71. V 28 — 10. τὸν βίον om. a — 12. δεινὸς Aa, δεινὸς (ῶ) h, δεινῶς gmn — κακὸς ek, κακῶς Bl — 14. ἐμὲ μὴ Bekk., μή με $A^h$, μὴ n Nic. Dam., με μὴ agm — τούτῳ om. n — 15. τῶν om. c — 18. εἰ .. λόγος (20) om. $lh^1$ — μὲν .. μὴ] μὴ .. μηδὲ c — 19. συνῄδ. αὐτῷ l — 20. παρεῖχεν $A^h$, παρέσχεν B — 25. ὁμοίως] add. C: εἰσὶ γὰρ (δὲ el) καὶ (om. l) δειλίας γραφαί, del. Bake — καίτοι ... γραφαί om. A — 27. ὑμῶν B.



τοὺς πολεμίους ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος γίγνηται. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ 176
τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιρραντηρίων τῆς ἀγορᾶς ἐξείργει· οὐκ οὖν ἐᾷ στεφανοῦσθαι οὐδ᾽ εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε ὅταν φῇ δημοτικὸς εἶναι· θεωρεῖτ᾽ αὐτοῦ μὴ τὸν λόγον ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι ἀλλὰ τίς ἐστιν.

Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι 177
μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ᾽ οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματά ποτ᾽ ἐπανορθωθήσεται. ὅτι δ᾽ ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν.
εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε πότερον ὑμῖν ἐνδοξοτέρα δο- 178
κεῖ ἡ πόλις ἡμῶν εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε ὅτι ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότερον τότε πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ τοιαῦτα παρ᾽ ὑμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα

2. γίγνηται $A^h$, ὑπάρχοι a, ὑπάρχῃ gmnM — 4. οὐκ οὖν W, οὐκ e, καὶ οὐκ x — 5. τὰ om. l — 6. ὑμᾶς l — 7. ἑαυτῷ (σαυτοῦ) h, ἑαυτοῦ A — τὸν om. $A^h$ — 14. δὴ l — ἕως ἂν elh — 15. ὦ add. $A^h$ — 16. δωρεὰς W, δωρεὰς ταύτας a, ταύτας δωρ. x — 18. ποτ᾽ ἐπανορθ. W, ἐπανορθ. Be, οὐδέποτ᾽ ἐπανορθ. kl, οὐδέποτ᾽ ἐπανορθώσετε h — 21. ἡ πόλις ἡμῶν Be, ἡ πόλις ὑμῶν k, ἡ πόλις δοκεῖ l, ἡ πόλις M — 22. ἅπαντες .. προγόνων om. n — ὁμολογήσετε l, ὁμολογήσοιτε h, ὁμολογήσητε agm — ὅτι add. h — 23. νῦν A — 24. νῦν A — 25. σιτίσεις a — 26. πλείους W, πλείους ἦσαν c, ἦσαν πλ. x — τοῦτο μὲν l — 27. τοιαῦτα W, καλὰ C, ἆθλα Markl. — ὑμῖν W, ἡμῖν C.

τίμιον· νυνὶ δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ
179 στεφανοῦν ἐξ ἔθους ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὐκ
οὖν ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νυνὶ
πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον
ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ'
ἀμείνους; ἐγὼ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν. οἴεσθ'
ἄν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς
τὰ Ὀλύμπια ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων
παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ
στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξα-
180 μένῳ; οὐδ' εἷς ἄν ποτ' ἠθέλησεν. νῦν δ' οἶμαι διὰ τὸ
σπάνιον καὶ περιμάχητον καὶ καλὸν καὶ ἀείμνηστον εἶναι
τὸ νικᾶν θέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ
τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν.
ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολι-
τικῆς ἀρετῆς, κἀκεῖν' ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δω-
ρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε,
πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλο-
μένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιει-
181 κεῖς φύσεις διαφθερεῖτε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ
σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμεί-
νων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας, [ὅτ'
ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε,] ἢ
Δημοσθένης ὁ [νυνὶ] τὴν τάξιν λιπών; Μιλτιάδης δὲ ὁ
τὴν ἐν Μαραθῶνι μάχην νικήσας; [ἔτι δ' οἱ ἀπὸ Φυλῆς

1. *νυνὶ* ekh, *νῦν* Bl — *καταλέλυται* a, *καταπεπάτηται* h — 2. *οὐκ* *om.* l — 3. *οὕτως ἰδίᾳ λογιζ.* klh — *νυνὶ* k, *νῦν* x, *om.* el — 4. *μᾶλλον ἢ νῦν* B — 6. *ἐγὼ* $A^h$, *ἐγὼ δὲ* B — 7. *ἂν om.* B — 8. *ἢ εἰς* B, *ἢ* $A^h$, *fort. rectius* — 11. *οὐδ' εἷς* W, *οὐδεὶς* C — *ἠθέλησεν* W, *ἠθέλησεν ἐπασκεῖν* C — *οἶμαι om.* $A^h$ — 12. *ante περιμ. add. τὸ* B, *om.* $A^h$ — *ante καλὸν add. τὸ* Bek., *om.* hl, *ante ἀείμνηστ. add.* C: *τὸ*, *del.* W — *εἶναι τὸ νικᾶν* W, *ἐκ τῆς νίκης* C — 13. *ἐθέλ.* C — 15. *εἶναι om.* lh — 16. *κἀκεῖν' ἐκλογ.* W, *κἀκεῖνο λογ.* $A^2$, *κἀκεῖνο ἐκλογ.* B Stob. *MΓ* 87 — *μὲν om.* $A^h$ — 17. *καὶ ante κατὰ om.* Stob. — 21. *βουλ. ὑμᾶς* n — 23. *περὶ*] *παρὰ* gmn — *σαλαμῖνι* B, *ὅτ' ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ* F, *ego corruptum locum intactum reliqui* — *νενικήκατε* $A^h$ — 24. *νυνὶ* el, *νῦν* k, *om.* B — 25. *νικήσας* W, *νικ. τοὺς βαρβάρους* $A^h$, *τοὺς βαρβ. νικ.* B — *Add.* C: *ἢ οὗτος*, *del.* W — *ἔτι . . . καταγαγ. del.* Markl., *cf.* § 187.



φεύγοντα τὸν δῆμον καταγαγόντες;] Ἀριστείδης δ' ὁ τὴν
ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε μὰ 182
τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις
ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου κἀκείνων
τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὐ-
τοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν
στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ μεγα-
λόφρων, κἀκεῖνοί γε τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν
ἐν τοῖς γράμμασι τιμᾶσθαι ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ
πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς
ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμ-
βανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

Ἦσάν τινες, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε και- 183
ρούς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύ-
νους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους·
οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν· ἔδω-
κεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς
λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ'
ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν
στρατηγῶν ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα.
ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων γνώσεσθε. 184
ἐπιγέγραπται γὰρ ἐπὶ τῷ μὲν πρώτῳ τῶν Ἑρμῶν

ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.

1. *φεύγοντες* $A^h$ — *Ἀριστείδης δ'* W, *Ἀριστ. δ' ὁ δίκαιος ἐπικαλούμενος* A, *Ἀριστ. δ' ὁ δίκαιος* B — 4. *ἡγοῦμαι εἶναι* ekh — *κἀκείνων* e, *καὶ ἐκ.* x — 5. *ἑαυτοῦ* ekh, *αὐτῷ* m — 6. *τῶν ἀνδρ. τούτων* B, *fort. τῶν ἀνδρῶν emblema est* — 8. *κἀκεῖνό* B — *post γε add.* C: *οἱ* (*εἰ* a) *μὴ* (*μὲν* n) *τετιμημένοι*, *del.* H — 13. *ἦσαν δέ* gmn — *ὦ ἄ. Ἀ. add.* $A^h$ — 14. *πόνον ὑπομ. χρόνον* B — 15. *ἐν τῷ* gmn — 16. *ἔδωκ.* $A^h$, *καὶ ἔδωκ.* B — 18. *τῇ τῶν* B, *τῶν* A — *ἔφη τε* gmn, *ἔφην τε* a — 19. *τὸ ὄνομα τὸ* $A^h$ — 21. *γνώσεσθε* $A^h$, *εἴσεσθε* B — 22. *γὰρ om.* klh — *ἐν* lh — *τῷ μὲν* amn, *μὲν τῷ* x — 23. *Epigrammatum ordinem restituit* Richter, *in* C *est* I = III, II = I, III = II, *cf.* Plut. Cim. 7. Tzetz. Schol. Lyc. 417 — *πόλεως* gm — *ἀτρείδαισι* e, *ἀτρείδεσι* l, *ἀτρείδεσσι* h — 24. *ἐς πεδίον* klh — 25. *ποθ'*: *περ* a — *χαλκοχ.*: *περφρονεόντων* a — 26. *κοσμήτορα* B

[οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ᾽ ἀμφὶ καὶ ἠνορέης.]
ἐπὶ δὲ τῷ δευτέρῳ
ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ᾽ Ἠιόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπάγοντες Ἄρηα
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.
185 ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ
ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ᾽ ἔδωκαν
ἀντ᾽ εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
μᾶλλόν τις τάδ᾽ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.
ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

186 Προέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεάν; ᾔτησεν, ἀλλ᾽ ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ᾽ ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ γραφῆναι παρακαλοῦντα τοὺς στρα-
187 τιώτας. ἐν τοίνυν τῷ μητρῴῳ, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα νικήσας Ἀρχῖνος ὁ ἐκ

2. τ᾽ *om.* $A^b$ — 4. ἦσαν $A^b$, *cf.* Bekk. Anecd. III 1293. Herodian. II 950. H 45. 786 — 6. καρτερὸν e — 7. τεῦκρον f — 9. τάγ᾽ $A^b$ — χάριτος
10. ἀρετῆς: ἀμοιβῆς a — 11. ταῦτ᾽ ἰδών el — 12. ἀμφί: χαίρων ἀμφὶ $A^b$ — μῦθον l, πόνον a — 15. προσέλθ. B — 16. ἡμῖν $A^b$ — 20. ἀποκρίναισθε ἂν n, ἀποκρίνασθε ἂν m, ἀποκρίνεισθε ἂν g, ἀποκρινεῖσθε elh, ἂν ἀποκρινεῖσθε k — 21. πῶς οὖν e, πῶς x — τὴν δωρεάν W, ταύτην τὴν δωρεὰν $A^b$, τ. δ. ταύτην B — ᾔτησεν .. ἔδωκεν *om.* el — 23. γραφ. W, γρ. πρώτῳ $A^b$, πρώτῳ γρ. B — παρακαλοῦντα (gmh²), παρακαλοῦντι C — 24. *post* μητρῴῳ *add.* C: παρὰ (*om.* el) τὸ βουλευτήριον, *del.* Bake — 26. τὸ *om.* mn — νικήσας $A^b$, γράψας καὶ νικήσας B — ἀρχῖνος elh.



Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ᾽ ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ᾽ ἄνδρα, ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ᾽ οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ᾽ ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι ἐπὶ Φυλῇ ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον τῶν πολεμίων ἐπιόντων. ὅτι δ᾽ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.

## ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

Παρανάγνωθι δὴ καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων αἰτίῳ κακῶν. 188

## ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ᾽ ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ᾽ ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

Καίτοι πυνθάνομαί γ᾽ αὐτὸν μέλλειν λέγειν, ὡς οὐ 189
δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνά τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ᾽ ἑαυτὸν ἀγωνιστάς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ᾽ ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν

1. καταγόντων n — 2. εἰς θυσίαν W, εἰς θυσ. αὐτοῖς a, αὐτοῖς εἰς θυσ. x — 3. κατ᾽ ἄνδρα ἕκαστον B — 4. στεφανοῦσθαι B — αὐτὸν ek — 5. καὶ ὁ $A^b$ — 6. στεφάνου am — οὐ τίμιος n — νῦν $A^b$ — καὶ *om.* el — 8. ὅσοι αὐτῶν B — φυλῇ B, φυλῆς A — οἵ τε ackh — 9. προσέβαλον el, *quod add. in* C: τοῖς καταλαβοῦσι φυλὴν *del.* H — 10. *post* ἔλιπον *add.* C: ἐν Χαιρωνείᾳ, *del.* W — 11. ἡμῖν el — 14. ἀνάγνωθι n — δὴ Wz, δὲ e, *om.* x — 15. αἰτίῳ κακῶν $A^b$, κακῶν αἰτίῳ B — 17. ἡ τῶν: ἡμῶν lh — 18. τὸν δῆμον *om.* $A^b$ — ἐκείνω a — 19. δ᾽ ἐκεῖνοι e, ἐκεῖνο l — 23. τὸν W, φασὶ τὸν el, φησὶ τὸν x — 24. ἐκεῖνον *om.* $A^b$ — 25. ἡμᾶς $A^b$ — 27. πρὸς ἀρετὴν τὴν ἀρετήν lh.

ἀρετήν. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ᾽ ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

190 Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

## ΕΠΙΓΡΑΜΜΑ.

Τούσδ᾽ ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

191 Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ᾽ αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι υἱὸς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὥστε πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράτ-
192 τοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίγνεται, ἀλλ᾽ ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς τὰ παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ τὰ παράνομα γρά-

1. ἀρετήν: *add.* C ἧς (ἧς καὶ agm) ἕνεκα στεφανοῦνται — 4. τῷ δήμῳ a — 11. τοῖς l — 12. πόλιος πρῶτοι kh, πόληος πρ. el, πρῶτοι πόλεως B — 14. παρανόμους l, παρανόμως kh, παρὰ τὸν νόμον n — ἄρξαντες l — 16. ἔτι *om.* a — ὅτι B, ὅτε $A^h$ — 18. υἱὸς W, ὡς C — 20. ὥστε W, οὓς Markl., ὃς C — 21. 22. κατελύθη el — 22. εἰσίοι B, εἰσῄει $A^h$ — 24. ἀνοσιώτατον n — 25. ἀπήγγειλεν elh — 27. πολὺ χαλ. οἱ B, πολὺ χαλεπώτεροι k, πολλοὶ elh — τὰ *om.* $A^h$ — 30. τὰ *om.* B.



φοντες, οὐκ εἰ πάντας παραπηδήσειαν τοὺς νόμους, ἀλλ᾽ εἰ μίαν μόνον συλλαβὴν παραλλάξειαν. τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ
τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ᾽ ἐκ τῶν τεχνῶν τῶν Δη- 193
μοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γαρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ᾽ οὐκ εἰσὶ περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων, ἂν ἄρα ποθ᾽ ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ᾽ ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν.
ἐφ᾽ ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα. ἐτόλμα 194
δ᾽ ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων ὅτι γραφὰς παρανόμων ἀπέφυγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ᾽ οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ᾽ ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν ἔφυγε παρανόμων, καλῶς οἶμαι σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμάρτοιεν εἰς τὴν πόλιν.
ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης 195
ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, ἕνα τῶν συγκατελθόντων, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ

1. -δήσαιεν C — 2. μόνην h — παραλλάξαιεν C, *em.* M — 3. γὰρ *om.* lmh — 5. ἄλλο τι ἀλλότριον Priscian. XVIII 162 — 6. τοῦ δημοσθ. $A^h$ — 8. μετήνεγκται e, μετήνεκται l — ὑμῖν Markl., ἡμῖν ekh, ὑμῶν x — 9. τὴν *om.* n — 11. οὐκ εἰσί Co, οὐκ εἰσὶ δικασταὶ C — 12. ἐκφέρειν g — ἐὰν e — 14. τοσαῦτα $A^h$ — 15. νῦν $A^h$ — μεγαλοφρονεῖν klh — 16. ἡμῖν elh — ποτε *om.* e — 17. ἀπέφυγεν $A^h$, πέφευγεν B — 18. οὐχ $A^h$ — 21. ἔφυγε Co, ἔφευγε $A^h$, πέφευγε B — 24. ἐξαμάρτοιεν h, ἐξαμαρτάνοιεν C — 26. Στειριέα: *add.* C: γράψαντά τι (τι *om.* $A^h$) παρὰ τοὺς νόμους στεφανοῦν (*om.* M), *del.* H — 27. συγκατ. W, ἀπὸ φυλῆς αὐτῷ συγκ. elh, συγκ. αὐτῷ ἀπὸ φυλῆς Bk.

τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί·
ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς
Θρασύβουλος κατήγαγεν, οὕτω νῦν κατελθόντας ἐξελαύ-
196 νειν. ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίγνεται· οἱ
γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῖν καὶ τῶν τὰς σιτήσεις τινὲς
εὑρημένων ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς
ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ
τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ ἣν
οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς τὰ
παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν ὑφ' ἧς τετί-
197 μηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνη-
γόρῳ; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν
εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ
τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ
τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον τῷ τὴν γραφὴν φεύγοντι
καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ
πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ
ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμε-
198 τέρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν
ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ
λόγῳ τὴν ψῆφον αἰτεῖ, νόμον αἰτεῖ, ὅρκον αἰτεῖ, δημο-
κρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ'
αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς, ἐάσαν-
τας τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν,
199 ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ
ταῖς γραφαῖς μόναις ταῖς τῶν παρανόμων, μὴ ἐξεῖναι

3. κατελθοντας W, μένοντας C — ἐξελαύνειν] add. $A^h$: γράφοντά τι παρὰ τοὺς νόμους, B: παρὰ τοὺς νόμους γράφοντά τι, del. W — 4. ἀλλὰ πᾶν $A^h$, ἀλλ' ἅπαν B — 5. ὑμῖν ek, ἡμῖν lh, ὑμῶν B — 6. εὑρημένων] add. C: ἐν τῷ πρυτανείῳ, del. W — 7. ὑπολαμβάνητε kln — 8. πόλει ln — 9. τὰ add. W — 11. δικαίῳ συνηγ. $A^h$, δικαίῳ συνηγ. καὶ σώφρονι a, συνηγ. δικαίῳ καὶ σώφρονι gmn — 15. δεύτερον W, δεύτερον ὕδωρ C — 17. μὴ om. $A^h$ — ὕδωρ om. $h^1$ — 19. 20. τὴν ὀργὴν ..., αἰτεῖ (21) om. e — 20. αἰτεῖται gmn — 21. ὅρκον αἰτεῖ om. B, cf. Rhet. Sp. III 28. 30. 54. 74, W. V 507 — 22. οὐδέν ἐστιν $A^h$ — 24. τὴν πρώτην W, τὴν πρώτην ὑμᾶς $A^h$, ὑμᾶς τὴν πρ. B — 26. τιθέναι l — 27. μόναις k, om. n, μόνον x — ταῖς τῶν W, ταῖς h, τῶν x.



μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι μήτε τῷ τὴν
γραφὴν φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ'
ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἐν τῇ
τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή,
τὸν κανόνα προσφέρομεν ᾧ διαγιγνώσκεται, οὕτω καὶ ἐν 200
ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ
δικαίου τουτὶ τὸ σανίδιον, τὸ ψήφισμα καὶ οἱ παραγε-
γραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδεί-
ξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν;
ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς
κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν
ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημο-
κρατίαν.
Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ 201
προερῶ. ἐπειδὰν προελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ
πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον,
ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν
ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ
ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν
ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε· οὐ γὰρ τῶν φευ-
γόντων τὰς δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμε-
νοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' 202
ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇ Δημο-
σθένην, μάλιστα μὲν μὴ προσδέχεσθε, οἰόμενον ῥήμασι
τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μη-
δεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτησιφῶντος
εἰ καλέσῃ Δημοσθένην πρῶτος ἀναβοήσῃ „κάλει, κάλει."

1. 2. τὴν γραφὴν φεύγοντι W, τὴν γραφὴν τῶν παρανόμων φεύγ. C — 2. φεύγ.] γράφοντι lh — 6. ταῖς τῶν k, τῶν x — 7. καὶ ante τὸ C, del. S — 9. δημοσθένη a — 15. προερῶ A, προσερῶ h, ἐρῶ B — προελθ. A, προσελθ. B — 16. δὴ om. l, γὰρ h — 18. ἄνευ θορύβου B, ἀθορύβως A, ἀγαθορύβως h — λαβὼν a — 20. ἐκεῖνον eh — ἐθέλετε W, ἐθ. ἀκούειν C, del. Co — 21. τὰς δικαίας H, τὰς οὐ δικ. C, cf. Franke Iahn. Ann. 93, 597 — 23. παρακαλ. δημοσθ. $A^h$, δημ. παρ. B — 24. προσδέχεσθε] add. $A^h$ σοφιστήν, B: κακοῦργον ἄνθρωπον, del. W, cf. § 16 — οἰόμενον .. ἀναιρήσειν etiam del. Bake, fort. rectius — ῥήμασι om. $A^h$ — 25. ὑμῖν elh — 26. ἂν om. elh — 27. καλέσῃ Bkk., καλέσειε $A^h$, καλέσω B — alterum κάλει om. elh, cf. Rhet. Sp. III 10. 55. 30. 319. II 346. Walz. III 299.

ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δη-
μοκρατίαν καλεῖς. ἂν δ᾽ ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώ-
σατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι
ὅνπερ κἀγὼ κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα
203 καὶ τοῦθ᾽ ὑπομνήσω ὑμᾶς, οὔτε τὸν ἴδιον βίον τὸν Δη-
μοσθένους πρότερον διεξῆλθον οὔτε τῶν ἀδικημάτων τῶν
δημοσίων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ
πολλὰ ἔχων, ἢ πάντων γ᾽ ἂν εἴην ἀπορώτατος· ἀλλὰ
πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ
στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα
γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδὲν
προβαλόμενον, οὐδὲ προσγράψαντα „ἐπειδὰν δῷ τὰς εὐ-
θύνας,“ ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων κατα-
πεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις
204 εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ᾽
ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν
οἷς διαρρήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανού-
μενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ
φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν
ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κε-
λεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ ἀλλ᾽ ἐν τῷ θεάτρῳ τὴν ἀνάρ-
ρησιν γίγνεσθαι, οὐδ᾽ ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ
μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ᾽ εἰπὼν μικρὰ μὲν
περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων
205 [ἀδικημάτων] λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώ-
σατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶ-
τον, πρὸς τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ
ὡς οὐδὲ ἀνάξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ᾽ ὑμῶν δέηται

---

1. *τὴν om.* A — 2. *δ᾽ om.* n — 5. *τοῦθ᾽ add.* W — *τὸν* B, *τοῦ* $A^h$ — 6. 7. *τῶν δημοσ. ἀδικ.* B — 7. *πρότερον οὐδενὸς* a — 8. *ἔχων* W, *λέγειν ἔχων* $A^h$, *ἔχων λέγειν* B — 9. *ἐπέδειξα τοὺς νόμους* A, *ἀπέδειξα τ. ν.* h — 12. *προβαλόμ.* Steph., *προβαλλ.* C — *προσγρ.* h, *προσεγγρ.* C, *cf.* § 11 — 14. *ταύτας* B — 22. *οὐκ* $A^h$ — 24. *οἰκείων* a — 25. *ἀπολογ. ἀξιώσατε* g — 26. *νόμων* lm — 27. *πρὸς* $A^h$, *καὶ* B, *om.* M — *τρίτον δὲ] add.* C: *τὸ (τὸν* a) *μέγιστον λέγω, del.* W, *τὸ μέγιστον λεγέτω* H — 28. *οὐδὲ ἀνάξιος* k, *οὐθὲν ἀνάξιος* elh, *οὐδὲ ἄξιος* B.



συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγ-
γελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ
παράνομον, μὴ συγχωρεῖτε, μηδ᾽ ἀγνοεῖθ᾽ ὅτι πάλαισμα
τοῦτ᾽ ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε πρὸς τὸ
παράνομον ἀπολογεῖσθαι, ἀλλ᾽ οὐδὲν ἔχων δίκαιον εἰπεῖν
ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται
τῆς κατηγορίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς 206
ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις
διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ
τῆς πόλεως περὶ τῆς τάξεως τοῦ λόγου μάχεσθε, καὶ μὴ
ἐᾶτε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιίστα-
σθαι, ἀλλ᾽ ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες εἰσελαύνετε αὐ-
τὸν εἰς τοὺς τοῦ παρανόμου λόγους, καὶ τὰς ἐκτροπὰς
αὐτοῦ ἐπιτηρεῖτε. ἀλλ᾽ ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν μὴ 207
τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ᾽ ὑμῖν
ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει γὰρ τὸν γόητα καὶ
βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος
κλάει μὲν ῥᾷον ἢ οἱ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων
προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δὲ εἰ μεταβαλλόμενος
τοῖς ἔξωθεν περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν
ὀλιγαρχικοὺς ὑπ᾽ αὐτῆς τῆς ἀληθείας διηριθμημένους
ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς
πρὸς τὸ τοῦ φεύγοντος. ὅταν δὴ τὰ τοιαῦτα λέγῃ, πρὸς 208
μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε,
ὅτι „ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς
φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ᾽ ἡ δημο-

---

1. *συγχωρεῖτε* elh — 2. *ἐπαγγελίας* elh — 3. *μηδ᾽ ἀγνοεῖθ᾽ om.* a — 4. *ποτε] add.: βούλοιτ᾽ ἂν* $A^h g^2 m^2$, *βούλεται* B, *del.* W — 8. *ἀλλήλους* amn — 10. *fort. στάσεως* Quint. III 5, 3. — *τοῦ λόγου* W, *τοῦ λόγου αὐτῷ* $A^h$, *αὐτῷ τοῦ λόγου* B, *αὐτοῦ* (ω) *τ. λ.* g, *debuerat saltem τούτῳ.* — 11. *εἰς τοὺς om.* B — 12. *ἐνεδρεύοντες] add.* $A^h$: *ἐν τῇ ἐκκλησίᾳ*, B: *ἐν τῇ ἀκροάσει, cf.* Plin. ep. IX 26, 11 — 13. *τοῦ παρανόμου* $A^h$, *παρανόμους* Plin., *τοῦ πράγματος* B *ex* I 176 — *αὐτοῦ* W, *αὐτοῦ τῶν λόγων* C — 14. *ἀλλ᾽ om.* $A^h$ — *μὴ add.* Taylor — 15. *ποιῆσθε* B, *ποιήσησθε* $A^h$, *cf.* § 8 — *τοῦθ᾽* $A^h$ — 16. *γὰρ om.* klnh — 17. *βαλλαντ.* a — 18. *κλάει* $m^2$, *κλαίει* x — *ῥᾳδίως* B — *οἱ ἄλλοι* k, *ἄλλοι* x — 20. *ἔξωθεν* Kleyne, *ἔξω* C — 23. *τὰ τοιαῦτα* $A^h$, *ταῦτα* B — 25. *ὅτι add.* $A^h$ — *ὅμοιοι ἦσαν σοι* $A^h$ — 26. *ποτε ἤδη* g.

κρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κακῶν συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν λόγων ἢ τῆς σωτηρίας τῆς πόλεως.“ ὅταν δ᾽ ἐπίορκος ὢν εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ μεθ᾽ ὅρκων ἀξιοῦντι πιστεύεσθαι δυοῖν θάτερον ὑπάρξαι δεῖ, [ὧν οὐδέτερόν ἐστι Δημοσθένει ὑπάρχον] ἢ τοὺς θεοὺς καινοὺς ἢ τοὺς
209 ἀκροατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ „ποῖ καταφύγω, ὦ ἄνδρες Ἀθηναῖοι; περιεγράψατέ με· οὐκ ἔστιν ὅποι ἀναπτήσομαι,“ ἀνθυποβάλλετε αὐτῷ „ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου τί πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σαυτοῦ βεβούλευσαι, πάντες ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ᾽ ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ
210 βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα.“ ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, σὺ δ᾽ οὔτε περὶ τοῦ σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζει; ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους·
211 ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπι-

---

4. αὐθημερὸν (ων *supra*) k, αὐθημέρων elh — 5. ἀπὸ τῶν ὅρκων elh — 6. ὅτι *om.* n — 7. ἀεὶ δὲ D, ἀεὶ δὲ πρὸς τοὺς (*om.* lh) αὐτοὺς C — 8. δυοῖν θάτερον B, ἐν τοῖν δυοῖν $A^b$ — ὧν .. ὑπάρχον *del.* Co — 11. καταφεύγω e, φύγω B — 12. περιεγρ. kh, περιεγράψετε el, περιγράψατε B — με] *add.* B: ἐκ τῆς πολιτείας, *om.* $A^h$ — 13. ἀναπτήσωμαι n — ὁ δὲ δῆμος ἀθηναίων ek, ὁ δὲ ἀθηναίων δῆμος lh — 14. καταφύγοι a — ἢ πρὸς B — 16. τί *add.* $A^h$ — σαυτοῦ e, σεαυτοῦ x — 17. πάντες $A^h$, ἅπαντες B — 18. ἐξορμήσας Priscian. XVIII 174 — 19. τῆς σ. ἀνανδρίας elh — 21. *fort.* τί .. τί — 22. Κτησιφῶν] *add.* C: ὁ δ᾽ ἀγὼν οὐκ ἀτίμητος, *del.* W — σὺ δ᾽] *add.* B: οὔτε περὶ τῆς οὐσίας, *idemque post* ἐπιτιμίας *ponit* $A^h$, *del.* W — 23. τοῦ *om.* e — ἀγωνίζῃ C. — 26. Rhet. Sp. III 22. 63 — ἄνδρες, *cf.* I 78. 121. 164.



λελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· „ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ᾽ οἷς ἡ πόλις ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι.“ ἀλλ᾽ οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ᾽ ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν
ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε ὑμῶν οὐ- 212
δεὶς φοβήσεται, μὴ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων ἐπανελθὼν οἴκαδε ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν ἀλλὰ κεφάλαιον, οὐδὲ πρόσωπον ἀλλὰ πρόσοδον κέκτηται.

Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην 213
βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν· ὃ δ᾽ ἐστὶ κοινὸν καὶ δίκαιον κατ᾽ ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ᾽ ἐρῶ. περιέρχονται γὰρ κατὰ τὴν ἀγορὰν ἀληθεῖς κατ᾽ ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέ-
γοντες. ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ᾽ αὑτόν φησι 214
φοβεῖσθαι, ἐλπίζειν γὰρ δόξειν ἰδιώτης εἶναι, ἀλλὰ τὴν

---

5. ἐκείρατο W, ἐκείρετο καὶ ἐπένθησε $A^h$, ἐπένθησε καὶ ἐκείρατο B — ἐμ᾽ ἐστεφανῶσθαι l — 6. ἂν *om.* an — ἀνὴρ οὕτω elh — ἐπὶ μετ᾽ l — 8. γε *om.* $A^h$ — 9. φοβήσεται $A^h$a, φοβηθήσεται x — ὁ δημ. B — 10. 11. ἐπαν. οἴκαδε $A^h$, οἴκαδε ἐπανελθ. B, *cf.* § 246 — 11. διαχρήσεται elh — 13. πάντας *om.* B — 15. εἴληχε a — 18. οὐ κεφαλὴν ἀλλὰ πρόσοδον C, *om.* ex Toupii et Westermanni coniecturis W — 22. καὶ πεῖραν Tur., ὑμῶν καὶ πεῖραν $A^h$, καὶ π. ὑμῶν a, καὶ π. λάβω ὑμῶν gmn — 25. γὰρ *om.* gmn — κατὰ *add.* eh — 27. κατ᾽ αὐτὸν e, καθ᾽ ἑαυτὸν x — 28. ἐλπίζειν .. φοβεῖσθαι (204, 2) *om.* a.

τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὑτὸν μὲν ἀποβλέπων θαρρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε.

215 Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν Δημοσθένην ὡς ἡ πόλις ὑπ᾽ αὐτοῦ μὲν ὠφέληται πολλά, ὑπ᾽ ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ᾽ ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ᾽ ὑμῖν ἐγὼ ἢ εἴ τινας
216 δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην
217 ἀλλ᾽ ἐνδεικνύμενος Ἀλεξάνδρῳ καὶ νὴ Δί᾽, ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ τί τὸ μὲν κεφάλαιον αὐτοῦ τῆς πολιτείας ψέγω, τὰ δὲ καθ᾽ ἕκαστον οὐκ ἐκώλυον οὐδ᾽ ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ᾽ ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι ἐβουλόμην, οὔτε τὰ αὐτὰ
218 τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν. τὴν δ᾽ ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρεσκεύασεν·

2. ἐκπληξίαν n — 3. ἑαυτὸν a — 5. δὲ n, δὲ δὴ agm — 8. προσειπεῖν Agmn — δημοσθένη e — ὅτι kl — 9. μὲν om. $A^h$ — 11. ἀνήσειν klh — ὑπ᾽ l — 13. ὑμῶν elh — κἀγὼ $mnh^2$ — 16. 17. παραλίπηται Bh — 17. νέων lh — 18. διατρ. om. n — καὶ om. lh — 21. Ἀλεξ.: add. C διὰ τὴν (om. n) πρὸς αὐτὸν ἔχθραν, del. Hirsch., cf. 219 — 22. μέλλειν gmn — ἐρωτᾶν n — τὰ μὲν κεφάλαια gm — 23. αὐτοῦ τῆς πολ. $A^h$, τῆς πολ. αὐτοῦ B — 26. ἐζήλωσα lh — 28. ἐβουλόμην W, βουλοίμην C.



ἀρκεῖ γάρ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιωπῶ καὶ λέγω βουλευσάμενος, οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ᾽ οἶμαι λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ᾽ ἂν βούλῃ, ἀλλ᾽ ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμενος, ἃ παραχρῆμα ἐξελέγχει ψευδόμενος. ἀπηνέχθη 219
γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ᾽ ὑπὲρ τῆς πρὸς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταὐτὸν ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν. ἐπιτιμᾷς δέ μοι εἰ μὴ συνεχῶς 220
ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν μεταφέρων οὐκ ἐκ δημοκρατίας ἀλλ᾽ ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος ἀλλ᾽ ὁ δυναστεύων δημηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ᾽ 221
ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ᾽ ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον

2. σιωπῶ klh, σιγῶ x — οὐκ $A^h$, ἀλλ᾽ οὐκ B — 4. σιγήσας l — 5. ὅταν .. ὅταν $A^h$ — ἂν βούλῃ W, ἃ βούλει C — 5. 6. οἱ σοὶ eh — 7. ἐξελεγχθήσῃ $A^h$ — 9. πρὸς $A^h$, εἰς B — 11. ἀρχὴν] βουλὴν a — 13. οὖν ἂν lh — 14. ταὐτὸν Co, ταὐτὸ C — 16. ἀλλὰ καὶ n — πρὸς] εἰς h — εἰσέρχ. hl — 17. λανθάνειν ἡμᾶς $A^hg$ — 18. εἰ μὲν e — 19. δημηγορεῖ Bekk., κατηγορεῖ C — 21. δόξῃ gmn — καὶ om. n — 23. παραλιπεῖν B — 24. μήπω $A^h$ — 25. μήτε $A^h$ — τοὺς om. klh.

222 ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρ-
χους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ', ὅτε
νομοθετήσας περὶ τῶν τριακοσίων καὶ σαυτὸν πείσας
Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ'
ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρ-
χους ὑφῃρημένος, πλεῖον τῆς πόλεως ἀφανίζων ναυτικόν,
ἢ ᾧ ποτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαι-
223 μονίους καὶ Πόλλιν ἐνίκησαν; οὕτω δὲ ταῖς αἰτίαις ἐνέ-
φραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον
εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν
μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς
φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως
καιρούς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπ-
αγγελλόμενος. οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων
ὑπ' ἐμοῦ τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύα-
224 σας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος; καὶ τὸν
αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρί, γράψας
αὐτὸν θανάτῳ ζημιῶσαι, παρ' ᾧ ποτ' ἐν Ὠρεῷ κατη-
γάγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ᾗ ἔφαγες καὶ ἔπιες
καὶ ἔσπεισας καὶ τὴν δεξιὰν ἐνέβαλες τοῦτον ἀπέκτεινας.
καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ'
ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω,
ἀλλ' ἀπεκρίνω ἐφ' ᾧ καὶ ὁ δῆμος ἀνεβόησεν καὶ ὅσοι
ξένοι περιέστασαν. ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας
225 περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. ἐπιστο-
λὰς γὰρ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ

1. 2. τριηράρχας (ους) a — 2. χρόνος ἀποκρ. $A^h$ — δύναιτ' e, δύναιτ' ἂν x — 3. τριακοσίων νεῶν A — καὶ .. πέντε (5) om. lh — 5. ταχυναυσῶν elh — 6. ὑφῃρημένους a — πλέον an — πόλεως] add. B: ἡμῶν, om. $A^h$ — 7. ᾧ ποτε W, ὁπότε $A^h$, ὅτε B, ὅτῳ Co — 8. πόλιν eln, πάλλιν a — 11. τὸν sec. om. B — 15. ἀναξίου e — κατασκευάσας khagm — 16. ὀλυμπιάσιν elh — 17. δὶς στρεβλώσας B — ἔγραψας B — 18. ζημιῶσαι, παρ' ᾧ ποτ' W ex Co, ζημιῶσαι καὶ παρὰ τῷ αὐτῷ C — κατηγάγου Co, κατήγου C — 19. ᾧ add. W — 20. ἐνέβαλες] add. $A^h$: κατ' ἀνδρὸς φίλου καὶ ξένου, B: ἄνδρα φίλον καὶ ξένον ποιούμενος, del. W — 21. τοῦτον Co, καὶ τοῦτον C — 23. ἀπεκρίνου Bh — καὶ add. W — ὁ δῆμ. ἀνεβ. $A^h$, ἀνεβ. ὁ δῆμος B (ἂν ἐβ. n) — 24. περιέστησαν A, add. C: τὴν ἐκκλησίαν, del. W — 25. ποιεῖσθαι klh — 26. γὰρ e, δὲ x (μὲν omisso σιγῶ n).



βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων
νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾶν με, ὡς ἐγὼ
πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις
τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι,
τελευτήσαντος δὲ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς
οἰκείους ἅττ' ἂν ἐπιτηδεύσας ὑγιὴς ἐγένετο. σαυτὸν δ' 226
οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος ὅστις
τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς ἐν
οἷς ἦν σῴζεσθαι τὴν πόλιν ἀποδοῖτο, τοὺς δ' εὖ φρο-
νοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ
τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περι-
βαλὼν ἀξιοίη στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μηδ' ἓν
πεποιηκώς, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπε-
ρωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ'
ἐκείνων τῶν καιρῶν ὅτ' ἐνῆν σῴζεσθαι, διὰ τί αὐτὸν οὐκ
ἐκώλυσαν ἐξαμαρτάνειν, ἀποκρύπτοιτο δὲ τὸ πάντων τε- 227
λευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν
περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας
τῆς πόλεως ἐπρεσβεύομεν; ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δί-
κην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον
ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην καὶ τὴν
γραφὴν ἀπήνεγκα.

Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθά- 228
νομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν δεῖ
καὶ μάλιστ' ἀγανακτεῖν. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς

2. νεωτερ. W, νεωτ. ἐν τῇ πόλει $A^h$, ἐν τῇ πόλει νεωτ. B — ἐρωτᾷ e, ἐρωτᾶν klh — 3. μέλλειν glh, om. e — ἂν οὖν a — 4. τῷ νοσοῦντι del. Usener — συμβουλεύει e, συμβουλεύει (οι) a — 5. δὲ αὐτοῦ B — ἔνατα ae, ἔννατα x — 6. ἅττ' ἂν .. ἐγένετο W, ἃ ... ἐγένετο ἂν $A^h$, ἃ ... ἂν ἐγένετο B — 7. ἀνερωτᾷς Aa — 9. ἀποδοῖτο ae, ἀπόδοιτο x — 10. κωλύει kgm — συμβουλεύων n — 11. συμφοραῖς $A^h$, κακοῖς B — 12. ἀξιοίη F, ἀξιοῖ C — 12. 13. μηδὲν πεπ. $A^h$, πεπ. μηδὲν B, om. W — 14. τοὺς om. n — ἐκ τῆς πολιτ. nescio an falsum sit — 16. τῶν lh — 17. ἐπιγινομένης $A^h$, γενομένης a — ἐσχόλαζον gm — 18. εἶναι τὴν μωρίαν k — 19. ἐπέχρη n — 21. ἀνέστην h — 23. ὧν n, ὡς x — 24. δημοσθένη e — δεῖ καὶ μαλιστ' ἀγανακτεῖν W, μάλιστα ἀγανακτῶν ekh, μάλιστα ἀγανακτῶ l, ἀγανακτῶν μάλιστα B — 25. ταῖς σειρῆσιν Baiter, ὡς ἔοικε τ. σειρ. $A^h$, τ. σ. ὡς ἔοικε B.

Σειρῆσιν. καὶ γὰρ ἐκείνων ᾠδαῖς φησιν οὐ κηλεῖσθαι
τοὺς ἀκροωμένους ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐδ' εὐδο-
κιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν
ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν
ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε
οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας
αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι·
229 εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος,
ἀλλ' ἀνδρὸς στρατηγοῦ μεγάλα μὲν τὴν πόλιν κατειρ-
γασμένου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων
διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν
οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσει, τὸν δὲ κατή-
γορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὑτοῦ
παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνο-
μάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ
περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα κατα-
φεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ γε τὴν γλῶτταν ὥσπερ τῶν
αὐλῶν ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

230 Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
ζητῶ, πρὸς τί ἂν ἀποβλέψαντες ἀποψηφίσαισθε τὴν γρα-
φήν. πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδε-
μία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ
τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι;
οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὔθυναι βίου, εἰ τοῦτον ἀφήσετε.
ἐκεῖνο δ' οὐ λυπηρὸν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ
ὀρχήστρα χρυσῶν στεφάνων οἷς ὁ δῆμος ἐστεφανοῦτο

1. ἐκείνων ᾠδαῖς φησιν οὐ κηλεῖσθαι W, ἐκείνας φησὶν οὐ κηλεῖν $A^b$, ὑπ' ἐκείνων οὐ κηλεισθαί φησι B — 2. ἀπόλλυσθε a — 3. οὐδ' $A^b$n, οὐκ agm — εἰρημένων n — καὶ pr. om. elh — 4. τὴν ἐμπειρίαν W, τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν B (ἀπειρίαν a), τὴν τῶν ἐμῶν εὐπορίαν λόγων $A^b$ — βλάβην n — 6. τρέπειν l — 8. ἦν] ἐστὶν a — 9. τὴν πόλιν $A^b$, τῇ πόλει B — 10. ἀδύνατον e — τὴν τῶν] διὰ τοῦτο $g^1$ — 13. ὑφ' αὐτοῦ a, ὑπ' αὐτοῦ Agm, ὑφ' ἑαυτοῦ n — 15. ἄνθρ. ἐξ ὀνομ. συγκ. Dion. Hal. 1064 — τῶν πικρῶν $A^b$ — 17. οὗ γε W, οὗτος e, οὗ x — 18. ἀφέλοι n — 19. Apsin. I 390 Sp. — 20. ἂν ἀποβλέψαντες e, ἀναβλέψαντες klh, ἂν ἀποβλέποντες B (ἂν om. n) — ἀποψηφίσαισθε Steph., -φίσεσθε egmn, -φίσεσθαι a, -φίσασθε k, -φίσασθαι l — 21. πότερ' $A^b$ — 23. οὐκ om. a — 24. εὐθῦναι C — 26. οὓς $A^b$.



ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀπο-
δεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευ-
μάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίγνεσθε,
οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν 231
ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων ποιήσειεν ἐν τρα-
γῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον,
οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον
εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄν-
θρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων
δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα
καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ
δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύ-
λους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόν-
τας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ.
καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστὲ καλῶς ποιοῦν- 232
τες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι,
ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων
ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς
τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ
μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς
μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἂν μὴ δικαίως τοὺς κυ-
κλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κριταὶ
χορῶν καθεστηκότες ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς,
τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ' ὀλίγοις καὶ τοῖς
ἀξίοις ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ 233
τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ
πεποιηκὼς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης
ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει·
ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν τὴν αὐτὸς

5. ἐπεισαγαγόντων e — 7. ὅμηρ. ἄν. W, αὐτὸν ὅμ. ἄν. $A^b$, ὅμ. ἄν. αὐτὸν B — 8. τῶν τοιούτων l — 9. στεφανοῦτε elh — ταῖς δ. ταῖς τῶν ἑλλήν. k, ταῖς δόξαις τῶν ἑλλ. elh — 14. περιθεῖναι .. ὑπὸ (16) om. n — 15. ὡς ἐστὲ el — 16. δ': μὲν l — 21. ἐκ τῶν Διον. a — ἂν e, ἐὰν x — 22. οὐκ ἐγκυκλίων χορῶν $A^b$, οὐ κυκλ. χορ. B, om. W — 23. καθεστηκότες M Tur., καθ. κριταὶ $A^b$, κριταὶ καθ. B — 24. τοὺς om. e — οὐδ'] ἀλλ' (οὐδ' superscr.) k — τοῖς om. elh — 27. γὰρ] γε n, δὲ $h^1$ — Rhet. Gr. III 27. 28. 93 — 29. τὴν αὐτὸς $A^b$, αὐτὸς τὴν B.

αὐτοῦ δυναστείαν. ἔπειθ᾽ ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς
δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· ἡ δὲ χάρις πρὸς
ὃν ἐχαρίζετο ἄδηλος γεγένηται.
234 Δοκοῦμεν δ᾽ ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερα
καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν
οὐ σωφρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νυνὶ καιρῶν οἱ
πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά,
οὐκ ἐπαινῶ· ὅτι δ᾽ οὐ γεγένηται φορὰ ῥητόρων τολμη-
ρῶν ἅμα καὶ πονηρῶν, εὐτυχοῦμεν. πρότερον μέν γε
τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω
κατεκήλησαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος, ἔπειτ᾽
αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ᾽ οἷς ἑαυτὸν ἐνεχείριζε, κατ-
235 έλυσαν· ἔνιοι δὲ αὐτῶν καὶ τῶν τριάκοντα ἐγένοντο, οἳ
πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρί-
τους ἀπέκτειναν πρὶν καὶ τὰς αἰτίας ἀκοῦσαι ἐφ᾽ αἷς
ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ᾽ ἐπὶ τὰς ταφὰς καὶ ἐκφο-
ρὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγε-
νέσθαι. οὐχ ὑφ᾽ ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους;
οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους;
οὐ μεμνήσεσθ᾽, ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον
τῇ τοῦ δήμου καταλύσει, πρὶν μεῖζον τῶν δικαστηρίων
ἰσχῦσαι;
236 Ἡδέως δ᾽ ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναντίον
ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ
ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανοῦσθαι. εἰ μὲν

---

2. λυπεῖ] *add.* C: δι᾽ αὐτὸν (αὐτοῦ $hm^2$) γὰρ οἶμαι γέγονε τὸ ἁμάρτημα, *del.* Bake — 3. γεγένηται] *add.* C: ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται, *del.* Bake — 5. καὶ *pr. om.* l, καὶ — καὶ $m^1$ — 6. νῦν B — 8. φορὰ W, καθ᾽ ἡμᾶς φορ. $A^h$, φορ. καθ᾽ ἡμᾶς B — 9. πονηρ. ἅμα καὶ τολμ. B — γε W, γὰρ C — 10. οὕτω *om.* $A^h$ — 11. κατέλυσαν $A^h$ — γὰρ] μὲν n — 13. δὲ αὐτῶν καὶ W, δὲ αὐτῶν καὶ αὐτοὶ $A^h$, δὲ καὶ αὐτοὶ B — 15. καὶ *om.* An — 17. εἴων] εἴρων l, εἶργον h — παραγενέσθαι an, παραγίγνεσθαι x — 18. ὑφ᾽ *om.* a — εἰξετε e — 20. μεμνήσεσθ᾽ Co, μεμνῆσθ᾽ C — πρότερον ἐπέθ. n — 21. τῇ τοῦ δήμου] δήμου A — πρὶν Co, πρὶν ἂν C — μείζω Be — 22. ἰσχῦσαι Co, ἰσχύσειν l, ἰσχύσοι h, ἰσχύσει (η) n, ἰσχύσῃ x — 24. ἀναλογισαίμην $A^h$, ἀναλ. ἐναντίον ὑμῶν n, ὁμολογησαίμην agm — 25. στεφανοῦσθαι W, στεφανωθῆναι $A^h$, στεφανῶσαι B.



γὰρ λέξεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι
τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυ-
μάζω σου. τοῦ γὰρ ταῦτ᾽ ἐξειργάσθαι καλῶς τὸ γεγενῆ-
σθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περι-
χαρακώσαντα χρὴ τὰ τείχη οὐδὲ τὰς ταφὰς ἀνελόντα τὸν
ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ᾽ ἀγαθοῦ τινος
αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον 237
μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς
ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ
ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν
καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπί-
δειξον ἡμῖν ὅ τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισ-
σέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ
τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δη-
μοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ᾽ εἰδό-
τας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν
καὶ τὴν δόξαν τὴν τούτων, δι᾽ ἣν ἐγένετο ἡ συμμαχία,
λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει
περιτιθείς. ἡλίκον δ᾽ ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ 238
πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν
βασιλεὺς οὐ πολλῷ χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβά-
σεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβρι-
στικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ
μάλ᾽ ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν,
„ἐγὼ“ φησὶν „ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ
γὰρ λήψεσθε.“ οὗτος τοίνυν ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ 239
τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθη-
ναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ

---

1. λέγεις B — ἐποίησας e — 3. ἐξειργάσθαι k, ἐξεργάσασθαι elh, ἐξεργασθῆναι B — 5. χρὴ] δεῖ a — τὰς ταφὰς W, τὰς τ. δημοσίας $A^h$, τὰς δημ. ταφὰς B — ἐνελόντα m — 7. γεγενημένον *omisso* αἴτιον elh — 10. τῷ ἀθ. n, τῶν ἀθ. x — 12. γὰρ a, *om.* x — 16. αἰσθομένους $A^h$ — 18. οἴει λανθ. B — 19. δ᾽ *om.* l — 21. πολλῷ πρότερον χρόνῳ B — 23. τάδε m — 24. διειλέχθη gmn, διηλέχθη h — ἀνέγραψεν n, *add.* C: ἐν τῇ ἐπιστολῇ, *del.* H — 25. μή με] μήτε lh — 26. οὗτος] οὔτε n — τοίνυν $A^h$, μέντοι B — ἐγκαταλειφθεὶς gm — 28. τριάκοντα $A^h$gm, πεντήκοντα a.

δήμῳ, ἃ σωφρονῶν οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάσατο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου
240 ἀπεστέρησας. οὐ δι' ἔνδειαν χρημάτων ἕνεκα μὲν πέντε ταλάντων οἱ ξένοι τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δέκα δὲ τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν.

241 Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάζειν, βαρύτερον τῶν ἔργων ὧν πεπόνθαμεν τὸ ἀκρόαμα γίγνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, τοὺς καθ' ἑαυτῶν ἐπαίνους ἐὰν λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;

242 Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σωφρονῇς, ἀποστήσει, ποιήσει δέ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψει, ὡς οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ

1. σωφρονῶν] *add.* A[h]: ὁ δῆμος — οὖν n — 3. τὴν συμμαχ. Θηβαίων A[h] — ἐξειργάζετο B — 5. ἐνώχλεις k[1] — 7. ἀπεστέρηκας elh — μὲν *om.* eh, *post* ἔνδειαν *ponit* A, Suid. s. v. κεφάλαιον — ἕνεκα γὰρ h, *i. e.* ἕνεκά γε — ἕνεκα .. ταλάντων *om.* Suid. — 8. ξένοι] *add.* A[h]: Θηβαῖοι, B Suid.: τοῖς Θηβαίοις — διὰ δέκα δὲ F, διὰ δὲ ἐννέα A[h] Suid., διὰ ἐννέα δὲ B — 13. ἡμῖν ekh — 14. αὐτῶν *om.* l — 15. τολμήσεις B — δημοσθένη aen, δημοσθένει l — παρακαλεῖν] *add.* C: λέξοντα εἰς ὑμᾶς, *del.* W — 16. αὐτὸς g — ἐγκωμιάζειν W, ἐγκωμιάζει lh, ἐγκωμιάσει x — 17. πεπόνθαμεν A[h], πεπόνθατε B — γενήσεται n[2] — γὰρ δὴ agm, *ex* γὰρ *superscr.* δὲ *natum* — 18. ὄντας gn — 19. ἐὰν *ante* τοὺς *ponit* B — 22. ἀκούων *om.* klhgm — 24. ποιήσει Bkk., ποίησαι C — 25. 26. οὐ δυνατὸν gl, ἀδύνατος h — 26. συμβαίνει *omisso* ἂν agm.



πρῴην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι συναχθεσόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσει; ἢ τοιοῦτός ἐστιν ὃν 243
γέγραφας στεφανοῦσθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τις συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα ἀποκρινοῦνται ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων διέφθειρε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέπρακται· Δημοσθένει δ' αὖ, ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν 244
τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμάσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαθ' ὁρᾶν σχετλιάζοντας εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, Δη- 245

1. ὑπομείνας lh, *an* ὑπομείνειας? — 2. συναχθεσόμενος Co, συναχθησόμ. g, συναχθεσθησόμενος x — 3. τοῦ *om.* n — 4. νῦν A[h] — δύνασθαι λέγειν A[h]g — 5. δύνασθαι e — 8. ἐὰν e — σοι συνείπῃ B (συνείποι mn) — δὲ lh — 9. ἰφικράτου l — 10. πιθοῦ l, πύθου gm, *cf.* Herod. II 818: οἱ Ἀθηναῖοι περισπῶσιν οἷον τυποῦ καὶ λαβοῦ καὶ νυγοῦ καὶ πυθοῦ — πυθοῦ] *add.* C: παρ' αὐτῶν (αὐτὸν l) *del.* W — αὐτοῖς *om.* l — 11. γὰρ *om.* l — ἅμα W, ἅμα σοι B, σοι ἅμα ek, *om.* lh — 12. ἰφικράτην e, *i. e.* ἰφικράτῃ, ἰφικράτης l — 13. μόραν H. Wolf, μοίραν C — διέφθειρε W, ἀπέκτεινε C — 15. τὸν πόλεμον n — 16. Δημοσθένει δ' αὖ W, δημοσθένει δ' ἀντεροῦ διὰ τί δώσετε A[h], δημοσθένει θ' ἐάν τις ἐρωτᾷ διὰ τί οὐ δώσετε B — 18. ἀτιμάσετε n, ἀτιμωρήτους ἐάσετε A[h], ἀτιμώσετε agm — 19. νομίσαθ' A[h], νομίζεθ' B, *cf.* Andoc. I 148 — 21. τὸν ἄφωνον e — 22. ἀγνώμονα n, τὰ ἀγν. agmk, τὸν ἀγν. el, τὸν ἄκμωνα h — ἐάν τις n — 23. καὶ *om.* l — ἑαυτὸν e — διαχρήσῃ klh, διαχειρίσηται agme — 24. δημοσθένει l.

μοσθένην δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν
πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦ-
τον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτή-
σαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίγνονται ὁρῶντες τῆς
ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπι-
λείπουσαν. καὶ τὸ μέγιστον, ἐπερωτῶσιν ὑμᾶς οἱ νεώ-
τεροι, πρὸς ὁποῖον χρὴ παράδειγμα αὐτοὺς τὸν βίον
246 ποιεῖσθαι. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ αἱ
παλαῖστραι οὐδὲ τὰ διδασκαλεῖα οὐδ' ἡ μουσικὴ μόνον
παιδεύει τοὺς νέους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια. κη-
ρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα
ἄνθρωπος ἀσχημονῶν τῷ βίῳ· ὁ δέ γε νεώτερος ταῦτ'
ἰδὼν διέφθαρται. δίκην τις δέδωκε πονηρὸς καὶ πορνο-
βοσκὸς ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται.
κἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελ-
θὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πεί-
θεται, ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἤδη δικαίως ὀνομάζε-
247 ται. ὡς οὖν μὴ μόνον κρίνοντες ἀλλὰ καὶ θεωροῦντες,
... οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν
μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί
ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη
δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος·
ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς ἀλλὰ τῇ Δημο-
248 σθένους ἀνανδρίᾳ προσεικασθῆναι. πῶς οὖν ἄν τις τὴν
τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβά-
νοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπί-

6. καὶ τὸ $A^h$, τὸ δὲ B — ἐπερ. $A^h$, ἐὰν ἐπερ. B — 7. ὁποῖον $A^h$, ποῖον B — παράδ. χρὴ n — 8. ποιεῖσθαι] add. B: τί κρινεῖτε, om. $A^h$, — ὦ ἄ. Ἀ. add. $A^h$ — ἡ παλαίστρα $A^h$ — 9. μόνη h — 10. νέους $A^h$, νεωτέρους B — τὰ δημόσια W, τὰ δημ. δίκαια $A^h$, τὰ δημ. κηρύγματα B — 11. ἕνεκα] add. B: καὶ ἀνδραγαθίας καὶ εὐνοίας, om. $A^h$ — 12. ἀσχημονῶν Aag, εὐσχημονῶν mh, ἀσχήμων ἐν n, ἀσχήμων ὢν M — βίῳ] add. B: καὶ βδελυρὸς, om. $A^h$ — ὁ δέ γε] ὁ δὲ e, οὐδὲν n, οὐδεὶς h — 13. διέφθαρται W, διεφθάρη C — 17. νουθετεῖν An, παιδεύειν agm — ἐνοχλεῖν W, ἐνοχλ. ἐνταῦθα $A^h$, ἐνταῦθα ἐνοχλ. B — καὶ δικ. ag — 18. θεωροῦντες $A^h$, θεωρούμενοι B, *excidisse pauca animadverterunt* Tur. — 19. ἀπολογίαν agm — νῦν μὲν οὖν a, μὲν νῦν n — 20. ἡμᾶς l — ἐκδικάζεται a — 22. ἡ πόλις δόξει $A^h$ — τις om. g — ᾖ] εἴη ekh — 23. ἡμᾶς Bkl — (ἡμῶν g, om. n), ὑμῶν h — 25. ἐκφεύγοι ek.



στους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ
τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ'
ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς
ἔργοις πλεῖστον ἀπέχοντες. ὅταν οὖν λάβητε ῥήτορα στε- 249
φάνων καὶ κηρυγμάτων ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν
κελεύετε τὸν λόγον, ὥσπερ καὶ τὰς βεβαιώσεις τῶν κτη-
μάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ
τρόπον σώφρονα. ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βε-
βαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπι-
μελήθητε ἤδη διαφευγούσης ὑμᾶς. ἢ οὐ δεινὸν, ὅτι τὸ 250
μὲν βουλευτήριον καὶ ὁ δῆμος παρορᾶται, αἱ δ' ἐπιστο-
λαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας,
οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων ἀλλὰ παρὰ τῶν πρω-
τευόντων ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστιν
ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦν-
ται πράττειν ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς
ἐπιστολὰς ἀλλήλοις παραναγιγνώσκουσιν, καὶ παρακε-
λεύονται οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύ-
λακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σω-
τῆρες τῆς πόλεως ὄντες. ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν 251
συμβεβηκότων ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλω-
κὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται,
τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρχεσθε
ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν
ἐράνων, τὰ περιόντα νειμάμενοι. ὅτι δ' οὐ ληρῶ, ἐκεῖ- 252
θεν τὸν λόγον θεωρήσατε. ἐγένετό τις, ἄχθομαι δὲ πολ-
λάκις μεμνημένος, ἀτυχία τῇ πόλει. ἐνταῦθ' ἀνὴρ ἰδιώ-

4. λαβόντες n — στεφάνων Benseler, ξενικῶν στεφάνων C — 5. κηρυγμ.] add. C: ἐν (om. $A^h$) τοῖς Ἕλλησιν, del. W — 6. καὶ τῶν λόγων An — καὶ om. n — κηρυγμάτων n — 8. ὅτῳ] οὕτω $lh^1$ — μαρτυρεῖτε elh — 10. δεινὸν] add. $A^h$: ὑμῖν εἶναι δοκεῖ, B: δοκεῖ ὑμῖν εἶναι (om. n), del. W — ὅτι $A^h$n, εἰ agm — 12. καὶ πρεσβ. agm — εἰς .. πρωτευόντων om. n — 14. καὶ ἐν τῇ n — 15. ἐκ] ἡ παρὰ $A^h$ — 17. ἐπαναγ. n — 18. οἱ μὲν ὑμῖν A, οἱ μὲν ὑμᾶς h, ὑμῖν οἱ μὲν B — εἰς] $\overset{\text{εἰς}}{\text{καὶ}}$ h, καὶ l — 21. γεγηρακὼς lh — 22. περιπονεῖται n — 25. περιιόντα k — 26. μεμν. πολλ. $A^h$ — 27. ἀτυχία τῇ πόλει $A^h$ Madvig, τὰς ἀτυχίας τῆς πόλεως B — ἰδιώτης ὃς B.

της ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ' ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρῴην μέν ποτε εἰσηγ-
253 γέλθη· εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριστ' ἄν. ἀντιθῶμεν δὴ τὸ νυνὶ γιγνόμενον. ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψεσθε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας
254 πλέοντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μὴν μνήσθητε ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νυνὶ καιρούς· δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.

255 Μὴ οὖν ὡς περὶ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἄνδρας ἀξιολογωτέρους ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς ὠσὶν ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει,

1. μονον k, μόνος x — ἐγχ. n — 2. ἀπὸ A[h] — 3. δ' om. ek — ἐκπλεύσας W, ἐκπλ. ἰδιώτης A[h] Harp. Phot. Lex. 98. ἰδιώτης ἐκπλ. B — 4. μέν add. Harp. Phot. Suid. — εἰσαγγ.] add. A[h]: καὶ ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο, B: καὶ ἴσαι αἱ ψ. αὐτῷ ἐγ., del. W — 5. μία ψῆφος Harp. Phot. Suid., μία μόνον C (μίαν hlm) — ὑπερέπεσεν Phot. — ὑπερώριστ' ἄν] add. Harp. Suid. καὶ ἀπέθανεν, C: ἢ ἀπέθ., del. A. Schaefer — 6. νῦν B — γενόμ. n — τὸ πάντων a — 7. αἴτιον a — ἀπὸ στρατοπέδου del. Herw. — 8. ἀποδέδρακε A[h] — 9. ἀποπέμψεσθε Usener ex Eurip. Hec. 72, ἀποπέμψετε C — 11. ἐπ' ὀνομάτων om. Plin. IX 26, 11 — 12. μὴν Helmstad., μὴ C (μέμνησθε n) — 13. τὰ πύθια μέλλει gm — 14. alterum τὸ om. A[h] — 15. ἡμῶν ἡ πόλις B — 16. νῦν B — 17. τοῦτον στεφανωθήσητε m, οὗτος στεφανώσηται n — 18. τούτου om. a — 20. περὶ A[h], ὑπὲρ B — ὑπὲρ B, περὶ A[h] — 23. ἀξιολ. ἄνδρας B — 25. συνβοηθ. n.



πότερον οἱ συγκυνηγέται ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐχ ὗς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται. ... ἀλλ' εἰς τὴν ἀλαζονείαν 256
ἀποβλέψαντες, ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν τῇ πόλει. ὅταν δ' ἐπὶ τελευτῆς 257
ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὑτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, σωφρόνως δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων, Ἀριστείδην δὲ τὸν τοὺς φό- 258
ρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τοῦ Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν, ὑμεῖς δὲ

1. κυνηγέται e — οἱ om. n — ὅτ' ὃς n — 3. ἐπιμελόμ. ka, ἐπιμελούμ. x, quod addebatur διατετέλεκεν om. Bkk. cum A[h] — 5. Aliquid excidisse vidit F — 6. τοὺς βυζ. gm, βυζάντιον n — ἐξελ. W, ἐξελ. πρεσβεύσας A[h], πρεσβ. ἐξελ. B — 7. τῶν kn, τοῦ x — 8. ἡμᾶς A — 9. ἤδη om. n — 10. ἀναπεισθήσεται n — 11. ἐν om. n — Rhet. Gr. III 19. 21 — 17. δημοκρ.] add. C: ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, del. W — σωφρ.] add. C: ὡς προσῆκεν αὐτῷ (ὥσπερ n), del. W — 19. δὲ om. el — νόμους a — 23. ὅτι οἱ A[h] Alex., εἰ οἱ B Alex.[2] — ἡμῶν k — ἀρίθμιον elh — 24. τὴν om. gm — 25. τοῦ ἀθην. km, τῶν ἀθ. x — 26. μὲν om. A[h] — δ' om. n — 27. ἄρχουσιν ἀθ. A[h].

259 Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων οὐκ οἴεσθε στενάξειν, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται;

260 Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρά, βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

---

1. χρυσίον] χρυσίον ἐπιδημήσαντα ... ἀθηναίων (*ex* § 258) klh — 5. *alterum* τοὺς *om.* A[h]gn — οὐκ ἂν en — στενάξαι agm, ἀναστενάξαι n — 7. ἀντιπρᾶξαι n — 9. καὶ αἰσχρά lh — 10. βεβόηκα elh — 13. παραλειπομένων A[h].

IV

# [ΑΙΣΧΙΝΟΥ] ΕΠΙΣΤΟΛΑΙ

Conpendia:

A = Codices ac Bekkeri.
B = Codex Helmstadiensis.
M = Codices ceteri aut omnes aut plurimi.
C = Codices.

---

## 1.

## ΦΙΛΟΚΡΑΤΕΙ.

Λύσαντες ἐκ Μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα
Σκίρωνι περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Κορησσὸν
τὴν Κείων. καθίσαντες δὲ ἡμέρας ἐννέα, καὶ γὰρ ἦν
ἄνεμος ἐναντίος, εἶτα ἑσπέρας λύσαντες ἅμα τῇ ἕῳ εἰς
Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον· 2
τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης καὶ τὰς τρίχας
λευκοὶ ἐγίγνοντο, ὁ δὲ τράχηλος καὶ τὰ στέρνα ἀνῴδει,
πυρετοὶ δ᾽ οὐκ ἐγίγνοντο οὐδὲ ἀλγηδόνες μεγάλαι, οὐδὲ
τὰ κάτω μέρη παρήλλαττεν οὐδέν τι. ταῦτα δ᾽ ἐπείθοντο
κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος
ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός·
ἐκ τούτου προσβαλεῖν αὐτοῖς τὸν θεὸν τὴν νόσον ὑπε-
λάμβανον. ἡμεῖς δὲ ὥσπερ εἴς τι ἔθνος ἀλλόφυλον ἢ 3
νῆσον ἐν τῇ ἔξω θαλάσσῃ ἀφιγμένοι, ἰδόντες ἐξαίφνης
ποικίλους ἀνθρώπους, νυκτὸς ἔτι φεύγοντες ᾠχόμεθα,
πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχει
ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. ζάλη δὲ
καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς [εἰς Κρήτην]

---

2. ΦΙΛΟΚΡΑΤΕΙ *om.* a — 4. σκίρωνι τῷ ἀργέστῃ ἀνέμῳ a, *cf.* Hesych. — κορεσσὸν a — 5. κείων Aldina, κίων a, κίον B, κέω c — καθήσαντες B — 5. 6. καὶ γὰρ ἦν ἄνεμος ἐναντίος AB, σκαιὸς γὰρ ἦν ὁ ἄνεμος M — 6. ἑσπέρας AB, ἑσπέρας πάλιν *vel* πάλιν M — 8. ἐμπίμπλαντο B — 11. τι *add.* AB — ἐπείθοντο Wolf, ἐπύθοντο A, ἐτίθεντο B, ἐπείθεντο M — 14. προσβάλλειν A — αὐτοῖς: αὐτοὶ a — τὴν νόσον a, τὴν νόσον ταύτην x — 15. ὡς περί c, ὥςπερ εις a, ὥσπερ B, ὥσπερ ὡς M — 16. ἰδόντες W, καὶ ἰδόντες C — 17. ποικίλους ἀνθρώπους AB, χρῶμα ποικίλον ἀνθρώπων M — ἔτι φεύγοντες M, τε ἐπιφεύγοντες a, ἀποφεύγοντες c — 18. ἔχει AB, ἔχοι M — 20. εἰς AB, ὑπὲρ M, *nomen insulae corruptum est, fort.* εἰς Κύθηραν.

4 πλησίον Ψαμαθοῦντος. ὡς δὲ ἐν συνόπτῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. εἶτα πνεύσαντος ἡμῖν ἀπ᾽ ἄρκτου πάλιν πέντε νύκτας ἐν θαλάττῃ ἐφερόμεθα, ἕως προσέσχομεν Κορώνῃ, ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους ἢ μὴ στεφανοῦται. κἀκεῖθεν τέτταρσιν ἡμέραις ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας, ὅπου νοσῆσαί μοι συνέβη τὴν
5 περὶ τὸ ἆσθμα νόσον. ὡς δὲ ἐπιμείναντος αὐτόθι οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ ὡς ἀφικόμην, πολὺ ῥάων ἐγενόμην. καὶ ταυτὶ μὲν ἔχομέν σοι τέως ἐπιστέλλειν· τὰ δ᾽ ἄλλα ὡς ἂν ἕκαστα συμβαίνῃ, δηλώσομεν. εὐτύχει, καὶ μὴ πολιτεύου μηδὲ πρόσκρουε μήτε τοῖς πλέον σοῦ μήτε τοῖς ἔλαττον δυναμένοις.

## 2.
## ΚΤΗΣΙΦΩΝΤΙ.

Ἐπέστειλεν ἡμῖν Νικόστρατος ὁ πρὸς μητρὸς θεῖος, ὡς ἐπηρεάζεις μὲν εἰς αὐτὸν οὐ μετρίως, ἐμοὶ δὲ ὀνειδίζεις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω, τί παθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν τοσαῦτα διελέχθης, ὥστε πεισθῆναί με μηδὲν ὧν διελέχθης πεπλάσθαι σε μηδ᾽ ἄλλως φρονεῖν, βλέποντα πρῶτον μὲν εἰς τὴν ἐμὴν συμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα δὲ εἰς τὸ σκυ-
2 θρωπόν σου καὶ ὅμοιον δεδακρυμένῳ· ὥστ᾽ ἔγωγε καὶ ἐπέσκηψα ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσιέναι σοι, καὶ μηδενός σε ὑστερήσειν ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλάκις· νῦν δ᾽ οὐδ᾽ ἐμποδὼν

---

1. ἀπόπτῳ M — 3. ἀπαρκτίου BM — ἐφερόμεθα om. a — ἕως W, ἐν οἷς A, ἐν αἷς BM — 4. Κορώνῃ W, τορώνῃ c, πορώνῃ B, ἐν ἀτορώνῃ a, Ἀθρώνῃ M — 5. αὐτοῦ c — 8. ἐπιμείναντός μου M — 10. ἀφικόμην AB, διέβην M — 11. ἔχω B, εἴχομεν M — 12. συμβαίνοι B — 13. μηδὲ Bkk., μήτε C — 17. ἀπέστειλεν c — 18. ἐπηρεάζοις BMc — 18. 19. ὀνειδίζεις AB, ὀνειδίζοις M — 24. δὲ καὶ BM — 25. σου om. AB, fort. εἰς τὸ πρόσωπόν σου σκυθρωπόν — 27. σε add. W.



ἔτι οὖσιν ἡμῖν οὔτε σοὶ οὔτ᾽ ἄλλῳ τινὶ Ἀθηναίων ἐπηρεάζεις, καὶ οὔτε εἰς τὴν τύχην ἀποβλέπεις οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλ᾽ ἐπαγωνίζῃ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος καὶ ἀπεστερημένοις ἐπιτιμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων. καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα 3
ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος, ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ τε καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην, ἀτυχέστερος μέντοι καὶ ἐλεεινότερος ἴσως, ὃς ποτὲ μὲν οὐδενὸς ἧττον, νῦν δὲ οὐδὲ [μίαν ὑπὲρ αὐτοῦ] φωνὴν ἐκπέμπειν [ἀλλ᾽ οὐδὲ ἀκούειν] λοιδορούμενος δύναμαι. τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζεσθαι, μηδε- 4
μίαν ἐλπίδα ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ᾽ ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει τοῖς μηδ᾽ αὑτοὺς σῴζειν ἔτι δυναμένοις, πῶς οὐκ αἰσχρόν ἐστιν; ἀλλὰ μὴ πρὸς Διός, μή σύ γε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾶν ἔτι βούλει καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο προσθῇς σαυτῷ τε καὶ τοῖς παισίν, οὓς τρέφεις βοηθοὺς 5
ἔσεσθαί σοι προσδοκῶν. καὶ μέμνησο ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ᾽ ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πόλει καὶ πολλῷ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

## 3.

Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέονται τῶν πολιτῶν ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες

---

1. οὔτε W, add. C διοχλοῦσι (οὔτ᾽ ἐμποδὼν .. οὔτε διοχλοῦσι σοὶ οὐδ᾽ ἄλλῳ S) — 5. μὲν om. a[1] — 7. ἂν om. a — 8. τε add. AB — 10. νομισθείην: add. C ἀπὼν ὑπὸ σοῦ λοιδορούμενος, del. W — ἴσως ὃς Scheibe, ἴσως φανεὶς a, ἴσως νομισθεὶς Bc, ἴσως νομισθείην καὶ M — 11. ποτὲ δὲ B — οὐδενὸς Tayl., οὐδὲν C — ἧττον B, ἥττων AM (add. ἐγενόμην M) — οὐδεμίαν C — 12. αὐτοῦ AB, ἐμαυτοῦ M, αὑτοῦ Scheibe — ἐκπέμπειν om. a — 14. ἔχοντα W, ἔχοντα ἔτι a, ἔτι ἔχοντα x — δυνήσασθαι a — 15. ὑμῖν Mc — 16. αὐτοὺς Ba, ἑαυτοὺς c — 17. τοῦ διὸς BMc — 18. ἔτι add. AB — 20. μὴ προσθῇς M — σαυτῷ BM, ἑαυτῷ c, αὐτῷ a — 21. σοι add. BM, deinceps add. C δηλονότι τοῦ γήρως σου (γῆρας οὗ a), del. Tayl. — 23. πόλει AB, πατρίδι M — 24. πολλῷ a, πολὺ x — γενόμενοι om. B.

τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς φαύλως αὐτοῖς προσφερομένας· ἐγὼ δὲ ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσάμην ἠτύχησα καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων,
2 ἄχθομαι μὲν ὥσπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥστε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν ὦφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε, ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι
3 τῶν εἰωθότων Ἀθήνησιν ἔπαθεν. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως μοι νομίσαιμ' ἂν αὐτὸ [γενέσθαι] τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

## 4.

Ἐπεὶ δοκεῖ σοι πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἐστίν, ἄκουε· παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν, οὐδ' ἄπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις, Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴ που πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ
2 γέλωτα ὀφλισκάνῃς ζητῶν ὅστις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανώπου ἑκάστοτε ἀκούεις λέγοντος „ὦ ταὶ λιπαραὶ καὶ ἀοί-
3 δίμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι," καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος ἐστί, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα, οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ

10. ἔπαθον Ba — 13. γεγονέναι, add. a: ὅμμασι πυρσοτόκοισιν ἀλάστορες εἴκετε πάντες ὃν θέμις ἀντιθέους ἱερὸν δόμον ἀμφιπολεύειν — 15. ἐπειδὴ BM — δοκεῖ σοι a, σοι δοκεῖ x — 16. ὅστις ἐστὶν W, ὅστις ἐστὶν ὁ κλεοκράτης C, cf. § 6 — 23. ἔμαθες F, ἔμαθες τὸ γράμμα C — 24. Μελανώπου a, Μελανίππου x, cf. 7 et 12, 17 — 25. ὦ ταὶ Brunck, ὦ τε a, αἵτε x, cf. Pind. Frg. 40 (56 Bgk.) — ἀοίδιμοι: διδυμα a — 27. τὸ ἔπος W, τοῦτο τὸ ἔπος a, τὸ ἔπος τοῦτο x — ἐστὶ W, add. C λέγοντος — 28. ποιήσαντα W, add. C τὸ ἔπος.



τὴν ζημίαν ἀπέδοσαν μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος ἐνδυτὸς στέμματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος Δαμάγητον ᾖδει ἐκεῖνον, εἰς ὃν 4
ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γένος ἅπτεται. καὶ εἰ μὴ σφόδρα ᾔδειν ποιητῶν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι μόνον τὰ περὶ τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα, ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι 5
τὸ διήγημα τοῦτο· ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. λέγεται γὰρ γυνή ποτε πρεσβῦτις Ὀλυμπίασι παρελθοῦσα εἰς τὸ στάδιον ἑστάναι τε ἅμα τοῖς ἀνδράσι καὶ θεᾶσθαι τοὺς ἀγωνιζομένους, ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι „τίνι γὰρ ἄλλῃ τοῦτο δέδωκε καυχήσασθαι οὗτος ὁ θεός, ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας ἔχει καὶ υἱὸν ἐπ' Ὀλύμπια ἄγει;" ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γένους 6
ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν, μὴ οὐ μηνῦσαί σοι, ὅπερ ἠξίωσας [ὅστις ἐστὶν ὁ Κλεοκράτης] βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτόν, ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον, συντετάχθαι καὶ ἀποτίνειν ταύτην τὴν χάριν τοῦ λαμπρῶς ἑστιᾶσθαι δοκῶ. τοσοῦτον μέντοι εἴποιμ' ἄν, ὅτι ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτη, πολὺ ἂν μᾶλ-

1. καὶ add. A — 3. ἐνδυτὸς στέμματι W, ἐνδύματι C — 5. Δαμάγητον om. a[1] — 12. μόνον: ἄλλον a[1] — 13. νυνὶ Bc — 15. 16. προσῆκε M — 18. θεάσασθαι BcM — 20. ἄλλῃ τοῦτο W, ἄλλῃ γυναικὶ τοῦτο a, ἄλλῃ τοῦτο γυναικὶ x — 21. οὗτος W, οὕτως C — 22. 23. ἔχοι .. ἄγοι A — 25. οὐ νῦν B — 26. μὴ οὖν B — 28. τῶν ξένων a — 31. κλεοκράτην BcM.

λον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις ἐσε-
μνύνετο.

## 5.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ' ἐπεποίθεις, οὔτε ὅτε
ἀφίγμεθα εἰς Ῥόδον παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον
ἦν, οὔτ' ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσμένισεν ἡμᾶς,
ἔξω δή του τὰ κοινὰ ταῦτα προστάξαι, λέγειν εἴ τινων
χρῄζομεν. ὁ δὲ Κλεοκράτης οὐδὲ μὰ τοὺς θεοὺς ἐπι-
στεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς
2 φιλανθρωπίας, ὅση κέχρηται περὶ ἐμέ. καὶ γὰρ οἰκίαν
δημοσίᾳ δοθῆναί μοι παρεσκεύασε καὶ χωρίον ἐν Κα-
μείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια καὶ εἰς
ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον ἀλλὰ καὶ Τεύθραντι
καὶ Ὁπλιστίᾳ, τὰ μὲν ἄλλα καὶ φαυλότερα τῶν Ἀθήνησιν,
ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων οὐδὲν ἂν
τῶν ἐκεῖθεν δεηθείημεν, οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω
τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ
ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα, ὧν καὶ
3 πέπομφά σοι. τἆλλα δ' ἡμῖν ἔπεμψε καὶ πυρῶν μεδί-
μνους, ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ
πάντας Κοθωκίδας διαρκεῖν ἂν ἐδυνάμην· καὶ πολλὰ δὲ
ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα
δηλοῦν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ
πάνυ ὑπερασπάζεσθαι μικρολογίας μέν τινος εἶναί φημι
καὶ ἀπειροκαλίας, φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ
4 ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα
καλλίω, συῶν τε ἀγρίων καὶ δορκάδων τῶν πέραθεν
ἀπολαύσματα. ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι,
καὶ μεταδίδωσι τῆς αὑτοῦ σοφίας, ἣ σοφωτέρα ἢ καθ'
ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν
παθεῖν φυλάττεται, σοφίᾳ καὶ οὐχ ὥσπερ οἱ ἄφρονες

3. *Haec epistola* (5) *videtur causam praebuisse ei quae antece-
debat.* Tayl. — 11. παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι BcM — 11. 12.
καμήρῳ a — 13. ἄφθονον a — 14. καὶ φαυλ. W, καὶ εἰ φαυλ. AB,
εἰ καὶ φαυλ. M — 16. ἐκεῖθεν a, ἐκεῖ x — 17. ἡμῖν c — 19. τἆλλα δ'
W, ταῦτα δ' C, ταῦτά θ' Bekk. — 24. μὲν: τὲ μέν a.



πείρᾳ διδασκόμενος· οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ'
ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης οὐδὲ ἀνθρώπων
ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ, καὶ
ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολι-
τείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα ὥσθ' ὅπερ
φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν,
ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι δοκῶ τῆς τοῦ πολι-
τεύεσθαι ἡδονῆς· ᾧ καὶ ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευ-
δαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν φεύγω, φαίνομαι·
ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ μνήμη 6
τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον, ἀλλὰ καὶ συγγενῶν καὶ
ἐκκλησίας καὶ Κολλυτοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα
ἔτη ᾤκησα, καὶ τοῦ Ἀλῆσι χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ
σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταρρεῖ ἅπαν
τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν, καί μοι δή-
ποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθέ-
νους, ἥδισται δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς
ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν 7
ἡμῖν δακρύων, σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν
ἅπασαν, ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει
φιλαπεχθημόνως, καὶ ὅτι τἆλλα τοιοῦτός ἐστιν, ὅτου
περιεῖναι μὲν μηδὲν λαμπρότερον, ἡττᾶσθαι δὲ ἀδοξό-
τατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐ-
τοῦ διατριβάς· εἰ δ' αὖ συνέλθοις ἐκ τύχης καὶ καθ'
ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν; ἂν ἰσχύῃς, καὶ γελᾶν.
ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώ- 8
ποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος·
σὺ δὲ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ'
ἡμᾶς ποτε, καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν ἐπανίοις
πάλιν.

5. ὥσθ' Wolf, καὶ C — 7. δοκῶ W, δοκεῖν Wolf, ποιεῖ C, ποτὲ R
— 8. ᾧ καὶ C, δοκῶ, καὶ R — 9. φεύγων a — 10. μνήμη Bekk.,
γνώμη C — 13. ἀλῆσι: ἄλσει c, ἀλωπεκῆσι a² — χωρίου: πεδίου a¹
— 22. μηδὲν S, μηδένα C, μηδενὸς Bekk., μηδένα . . ποιεῖ Wolf —
24. συνέλθοις Bekk., συνέλθῃς C — 25. λέγει B — 26. τὸ πᾶσιν BM
— 29. ἐπανήκοις BM.

### 6.

### ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει οὖν ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως· ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ, ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπέλαβεν, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

### 7.

### ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπυθόμην τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς, καὶ
τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν, Μελανώπῳ
δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ
πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ πατρί-
2 δος ἐστερημένος ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γάρ,
ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ
κεχρῆσθαι τῇ συμφορᾷ, φημὶ μέντοι βοηθῶν ταῦτα τοῖς
νόμοις πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι
παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχη-
κέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ
Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ
3 ἐν τῇ πόλει γενομένων· σοὶ δὲ τὸ μέχρι μὲν χθὲς καὶ
πρῴην θεσμοθετοῦντος ἤδη σοῦ προεστάναι τὴν μητέρα,
τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον,
σὲ δὲ πραθέντα τρισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρη-
κέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ
τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπο-
4 λαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν δοκῇ,

2. ΦΙΛΟΚΡΑΤΕΙ *om.* AB — 7. δὲ: δὴ a — 9. 10. ὑπέλαβεν AB, ὑπεδέξατο M — 10. ἔτι *add.* a — 13. ΤΗΙ .. ΔΗΜΩΙ *om.* A — 14. τῷ Μελ. a — 16. μόνον πρὸς ὑμᾶς a — 17. 18. τῆς πατρίδος M — 20. 21. τοῖς νόμοις ταῦτα M — 23. θεμιστοκλῆν a — 25. μὲν μέχρι a — 28. πραχθέντα A — δισχιλίων M — 30. ἢ A, καὶ BM — 31. ποτὲ δόξῃ M.



διαλέξομαι παρών· ὑμῖν δὲ τῆς εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε, θορυβοῦντες δὴ καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω, δικαιότερον μέντοι καὶ ἄμεινον ἐμὲ αὐτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς. εἰ δὲ 5 μὴ, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων ἡμᾶς ἢ χαρίζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημιῶν οὐκ ἀκροᾶσθε, μείζω τὴν ὑποψίαν δυναμένων λέγεσθαι ποιεῖν.

### 8.

Σὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ νόσους καὶ δίκας καὶ πάντα μᾶλλον τοῦ μὴ βούλεσθαι ἐλθεῖν πρὸς ἡμᾶς αἰτιᾷ· Νικίας δὲ ἀφῖκται πάλαι καὶ Ἀνδρωνίδας. εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ, πυνθάνομαι γὰρ αὐτὸν ἐξιέναι, διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπολογία καὶ λυθείη ὁ πόλεμος· εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ ἔγνωκας ἐξιέναι, σὺ μὲν ἐπιστελεῖς διὰ παντὸς ἡμῖν ἀφίξεσθαι, ἐγὼ δὲ ἅπαξ ἀνιάσομαι.

### 9.

Περαιωθεὶς ἐπὶ Φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμέ-
ραν, οὐχ ὑπ' ἀργίας, ἀλλὰ μηκυνεῖν ἔδοξεν ἡ περὶ τὸ
ἆσθμα νόσος, ὡς τὴν νύκτα ἐνέδωκε καὶ ῥᾴων ἐγενόμην,
βαδίσας εἰς τὴν Ἄμμον ἐπεῖδον τὰ χωρία. καί μοι ἔδοξε
καλὰ μὲν ἄλλως καὶ ποικίλα εἶναι τὰ χωρία· καὶ γὰρ
ἐλαιὼν ἦν καὶ πολλὰ φυτὰ καὶ ἄμπελοι συχναὶ καὶ σπό-
ριμα πίονα καὶ νομαὶ καλαί· ἐπαύλιον δὲ οὐδὲ μέτριον,
ἀλλὰ πάντα ἐρείπια. ἐδέξατο ἡμᾶς ὁ Μυρωνίδης φιλαν- 2
θρώπως σφόδρα. τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριά-
μην, καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον κε-

1. ὑμῖν: νυνὶ Bc — τῆς μὲν εὐνοίας M — 2. δὴ A, δὲ B, ἀεὶ M — 4. ἐμὲ αὐτὸν c, ἐμαυτὸν BaM (= ἔμ' αὐτόν?) — 6. τὰ *om.* A — δὲ *om.* B — 8. λοιδορουμένων AB — δοκοῦντες B — 9. βλασφημούντων M — 18. ἔγνωκας a — ἐπιστέλλεις a — 22. μηκυνεῖν R, μηκύνειν C — 26. καὶ *primum om.* B — 27. πίονα R, πλείονα C — 28. ἐδέξατο δ' M — 30. οἷον W, οἷον ἐμηχανώμην ἐγὼ C, οἷον ἂν μηχανῴμην Wolf.

κτημένος βραχέα καὶ μέλλων ὅμως οἰκεῖν ἐνθάδε, μὰ
τοὺς θεοὺς οὐχ ἡδέως στερόμενος τῆς ἐμαυτοῦ πόλεως,
καὶ μάλιστα τοιαύτης, ἐν ᾗ δύναιτο ἄν τις ἧσσον ἀλγεῖν
ὑπολαμβάνων οἰκεῖν. ἔρρωσο.

10.

Ὁ δὴ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ αἰγιαλὸν
ἡμᾶς δέδρακεν, οὐκ ἔθους, οὐ νόμου φειδόμενος οὐδενός.
κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης.
καὶ ἃ μὲν εἶδον αὐτόθι, γράφειν ἐπεὶ δοκεῖ ἄφθονον
ἔχειν τὴν ὕλην, σιωπήσω· δέδοικα γάρ, μὴ ποιητικῆς
λαβόμενος φλυαρίας ἀπειροκαλεύεσθαι δόξω· τὰ δὲ Κί-
μωνος ἔργα καὶ τὴν ἀκρασίαν, οὐδ' εἴ μοι δέκα γλῶσσαι,
2 δυναίμην ἂν ἀρκέσαι λέγων. διατριβόντων γὰρ ἡμῶν
πολλὰς ἡμέρας ἐν Ἰλίῳ καὶ μὴ πληρουμένων τῆς θέας
τῶν τάφων, ἦν δέ μοι γνώμη μένειν, ἕως ἅπαντα διεξ-
έλθω τὰ ἐν τῇ Ἰλιάδι [ἔπη] πρὸς αὐτοῖς ἑκάστοις ὑπὲρ
ὧν τὰ ἔπη ἐστί, ἐμπίπτει ἡμέρα, ἐν ᾗ πειρῶνται τοὺς
γάμους οἱ πλεῖστοι τῶν θυγατέρων, ὅσων ἐπιτρέπει ἡ
3 ὥρα, ποιεῖν. ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. νενό-
μισται δὲ ἐν τῇ Τρῳάδι γῇ τὰς γαμουμένας παρθένους
ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι, καὶ λουσαμένας ἀπ' αὐ-
τοῦ τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν, „λαβέ μου,
Σκάμανδρε, τὴν παρθενίαν.“ ἐν δὴ ταῖς ἄλλαις Καλ-
λιρρόη ὄνομα παρθένος καλὴ καὶ μεγάλη, πατρὸς δὲ οὐ
4 τῶν ἐπιφανῶν, ἐπὶ τὸν ποταμὸν ἧκε λουσομένη. καὶ
ἡμεῖς ἅμα τοῖς τε οἰκείοις τῶν γαμουμένων καὶ τοῖς
ἄλλοις ὄχλοις πόρρωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρά, ᾗ

2. ἡδέως στερόμενος A, ἡδόμενος ἐπὶ τῇ στερήσει B, ἡδέως ἐπὶ τῇ στερήσει M — 4. ἔρρωσο *add.* A — 6. δὴ A, δὲ BM — 7. οὐκ ἔθους D, οὐκ ἤδους C — οὐδενὸς ἐστιν B — 8. ὅ τε κατὰ BcM — 10. ὕλην ἔχειν ἄφθονον BcM — 12. δέκα μὲν BcM — 13. ἂν *add.* Bremi — λέγειν B — 15. τάφων A, γάμων B, Περγάμων M — 16. τῇ *om.* a — 17. ἐστὶ W, ἐστὶ γιγνόμενα a, ἐστὶ γιγνόμενος c, ἐστὶ γεγενημένα BM — 18. 19. ἡ ὥρα ποιεῖν A, ὁ νόμος ποιεῖν καὶ ἡ ὥρα BM — 21. ὑπ' c — 23. 24. καλλιθρόη a¹ — 24. καλὴ καὶ *add.* Markl. — 24. 25. οὐ τῶν ἐπιφ. πατρὸς a — 25. λουσαμένη c — 26. τε τοῖς c — 27. τὰ λουτρά: *add.* τῶν γαμουμένων a, τῶν παρθένων x, *del.* W.



θέμις αὐτοῖς ὁρᾶν, ἐθεώμεθα. ὁ δὲ καλὸς κἀγαθὸς Κί-
μων ἐγκρύπτεται εἰς θάμνον τοῦ Σκαμάνδρου, καὶ στέ-
φει ἑαυτὸν δόναξιν· ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα
τοῦτο καὶ ὁ λόχος ἐξ ἡμέρας ἐπὶ τὴν Καλλιρρόην εὐτρε-
πής. λουομένης δὲ καὶ τὸ εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα 5
ἐπυθόμην, λεγούσης, „λαβέ μου, Σκάμανδρε, τὴν παρθε-
νίαν,“ ἐκθορὼν ἐκ τῶν θάμνων ὁ Σκάμανδρος Κίμων
„ἡδέως“ ἔφη „δέχομαι καὶ λαμβάνω Καλλιρρόην Σκά-
μανδρος ὤν, καὶ πόλλ' ἀγαθὰ ποιήσω σοι.“ ταῦτα ἅμα
λέγων καὶ ἁρπάσας τὴν παῖδα ἀφανὴς γίγνεται. οὐ μὴν 6
καὶ τὸ πρᾶγμα ἀφανὲς γίγνεται, ἀλλὰ τέτταρσιν ὕστερον
ἡμέραις πομπὴ μὲν ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ
νεωστὶ γεγαμημέναι, καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα.
ἡ δὲ νύμφη ἰδοῦσα τὸν Κίμωνα ὡς μηδὲν αὐτῷ κακὸν
συνειδότα ἅμα ἐμοὶ θεώμενον, προσεκύνησε, καὶ ἀποβλέ-
ψασα εἰς τὴν τροφὸν „ὁρᾷς“ ἔφη, „τίτθη, τὸν Σκάμαν-
δρον, ᾧ τὴν παρθενίαν ἔδωκα;“ καὶ ἡ τίτθη ἀκούσασα
ἀνέκραγε, καὶ τὸ πρᾶγμα ἔκπυστον γίγνεται. ὡς δὲ 7
οἴκαδε εἰσέρχομαι, καταλαμβάνω τὸν Κίμωνα, καὶ οἷα ἦν
εἰκὸς ἐργάζομαι, καλῶν ἀνόσιον καὶ δι' αὐτὸν ἀπολωλέναι
λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ᾐσχύνθη
τοῖς πεπραγμένοις, ἀλλὰ μύθους ἐπεβάλλετο λέγειν μα-
κρούς, τοὺς ἁπανταχόθι τροχῶν ἄξια εἰργασμένους κατα-
ριθμούμενος. καὶ γὰρ ἐν Μαγνησίᾳ τοῦτο περὶ Μαίαν- 8
δρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν ἐκεῖ
νέων, ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλητὴν ὁ
πατήρ, ἔφη, αὐτοῦ οὐχ ἑαυτοῦ υἱόν, ἀλλὰ τοῦ Μαιάνδρου
εἶναι πείθεται, καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ νομίζει
σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν· ἐπειδὰν δὲ πολλὰς λα-
βὼν πληγὰς [καὶ ἀπειπάμενος] ἐξίῃ, τὸν ποταμὸν αὐτῷ

1. αὐτοῖς Bc, αὐτοὶ a, τοῖς M, *add.* a ἔξω, x ἐξωτέρω, *del.* W — 4. 5. εὐπρεπής c — 15. συνιδόντα a — 16. εἰς AB, πρὸς M — τίτθη ἤθῃ a *itemque paulo post, quo occultatur nutricis nomen, an* Αἴθρη *deleto* τίτθη? — 18. ἔκπυστον A — γέγονε a — 20. ἐργάζομαι AB, ὀργίζομαι M — 22. ἐπεβάλετο c, ἐπελάβετο M — 24. ταὐτὸ τοῦτο c — 28. νομίζειν c — 29. πολλὰς *om.* B — 30. καὶ *om.* BM — ἐξίοι C, *em.* Bekk. — αὐτῷ Tur.

νεμεσῆσαι λέγει, ὅτι νικήσας οὐ πατέρα ἀνηγόρευεν αὐ-
9 τόν. οὐκ ἄρ᾽ ἀπορεῖ γε ἡττώμενος προφάσεως. καὶ περὶ
Ἐπίδαμνον δ᾽ ὁμοίως, πόλιν κατ᾽ Ἰόνιον, ἔφη μουσικὸν
ὑπ᾽ εὐηθείας πεπεῖσθαι, ὅτι Ἡρακλέους εἴη τὸ ἐκ μοι-
χοῦ γεγονὸς αὐτῷ παιδίον. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησά-
μην, ἔφη, ἅπαξ δὲ διελέχθην παιδὶ ὑπερώρῳ τε ἤδη,
καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως
δ᾽ ἐδόκει μοι, ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν Ἰλίῳ τρα-
γικά τε καὶ φοβερὰ ᾖ, παθεῖν δή καί τι ἡμᾶς καὶ οἷον
10 ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. κἀγὼ
μὲν ἄλλο οὐδὲν ἢ ὅποι λήξει ἡ τοσαύτη ἀναισχυντία
προσμένων, λίθινος ὑπ᾽ ἀπιστίας ἐγεγόνειν· ὁ δὲ ἐῴκει
καὶ τρίτην Ἀπόλλωνος οἶμαι καὶ Διονύσου μοιχείαν ἐπά-
ξειν, ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ „ἰδού γ᾽
ἐκεῖνοι“ ἔφην, „καταπρήσοντες ἡμᾶς πάρεισι,“ καὶ δι᾽
ὀπισθοδόμου τινὸς εὐθέως πρὸς Μελανιππίδην φεύγων
ᾠχόμην, ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θάλατταν. εἶτα πρόσθεν
ἀξένῳ καὶ ὥστῃ ἀνέμῳ κατήχθημεν, ὃν μηδεὶς ἂν ἄλλος
ἢ φεύγων τὸ Κιμώνειον ἄγος ὑπομείνειε πλέων. τοιαῦτα
μὲν παθὼν δεῖν σοι γράφειν, ὡς σχετλιάσοντι καὶ ἐμοῦ
μᾶλλον, ᾤμην· σὺ δὲ ἂν ἱκανῶς, οἶμαι, γελάσειας.

11.

## ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Τὰ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν, περὶ ὧν ἐβουλόμην, καὶ πρότερον ᾤόμην· οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τὸ παρ᾽ ὑμῖν ὑπελάμβανον· συμβουλεύειν δὲ

1. ἀνηγόρευσεν BM — 3. πόλιν κατ᾽ Ἰόνιον Bkk., πόλιν κατ Ἰώνιον R, πάλιν κατιὼν δὲ C, πάλιν Καρίωνα Wolf, nondum persanatum est — 7. εἶδον M — 8. δ᾽ ἐδόκει R, δὲ δοκεῖ C — μή: μοι M — 9. τε om. M — ᾖ: εἰ B — δή W, δεῖ B, δεῖν x — καί τι AB, τι καὶ M — 10. ἐργάσασθαι corruptum est — ὅποι a, ποῖ x — 12. ὑπασπιστίας a — 13. οἶμαι W, μοι Bc, om. M, μοι δοκῶ a — 13. 14. ἐπάξων M — 14. 15. ἰδού γ᾽ ἐκεῖνοι W, τοῦτ᾽ ἐκεῖνο C — 17. εἶτα πρόσθεν a, εἰς τἄμπροσθεν c, εἰς τοὔμπροσθεν εἶτα M — 18. ἀξένῳ καὶ ὥστῃ ἀνέμῳ S, ξενῶνα ὥστῃ ἀνέμῳ a, ὡς τὸν ξενῶνα ἀνέμῳ x — 19. ὑπομείνειε W, ὑπομένοι a, ὑπομείνοι Bc, ὑπομεῖναι vel ὑπομείναι M — 20. καὶ ἐμοῦ σχετλ. BM — 23. 24. ΤΗΙ .. ΑΘΗΝΑΙΩΝ om. c — 27. ἀτυχησάντων a — τὸ W, τῶν C, del. S.



καὶ πολυπραγμονεῖν οὐ μικρᾶς ἔμοιγε ἀκρασίας ἐφαίνετο
εἶναι, δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι, πλὴν
εἴ τι δέοι καλούντων ὑμῶν. ἄλλως δὲ μηδὲ ῥᾴδιά τισιν 2
ἐπιτηδείων, οὐχ ὅτι πόλει, συμβουλεύειν ἃ προσήκει
ᾠόμην· ὑμῖν δὲ ἑώρων ἄλλους καὶ λέγειν καὶ πράττειν
δυναμένους τὰ κοινά· κατέλιπον γὰρ οὐκ ὀλίγους. ἐπεὶ
δὲ οἱ μὲν τεθνᾶσι, πολλοὶ δὲ ἠτυχήκασιν ὥσπερ ἐγώ,
περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν πολιτευομένων,
ἀκούω δὲ τοὺς μὲν αὐτοῦ παρόντας, τοὺς δὲ καὶ δι᾽
ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων, ἕτοιμος
ἤδη τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς μόνον ἔξεστί
μοι, δι᾽ ἐπιστολῶν λέγειν. εἰ δὲ καὶ νῦν τὰ Μακεδόνων 3
φρονεῖν ἐροῦσί με, καὶ παραπρεσβείας πάλιν γράφονταί
τινες ἀπόντα με ἢ προδοσίας τῆς Ἑλλάδος, ἕτοιμος ἤδη
καὶ Ῥόδου καὶ γῆς ἁπάσης Ἑλληνίδος πρόσω φεύγειν,
ἐὰν βούλωνται, καὶ πρὸς τὸν ἐν Πέρσαις ἄπειμι καὶ
Μήδοις βασιλέα. καίτοι τὰ Περσῶν γε καὶ Μήδων οὐ-
δεὶς ἔφη μέ ποτε φρονεῖν, καὶ πάντων ἥκιστα Δημοσθέ-
νης. ἀλλ᾽ οὐδ᾽ ἐκεῖθεν παύσομαι γράφων, ἃ τῇ πόλει
δόξω συμφέρειν, οὐ χαρίζεσθαι μέλλων ὑμῖν, ὥσπερ ἄλλοι
τινές, ἀλλ᾽ ἐλευθέρως νουθετεῖν. εὖ γὰρ εἰδέναι χρή, 4
ὅτι τῶν πολιτευομένων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρί-
ζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι καὶ μάλιστα πρὸς
ἡδονὴν λέγουσι, τὴν ὑπὸ προσχήματι παρρησίας ὁδὸν
τοῦ κολακεύειν ἑλόμενοι· καὶ γὰρ αὕτη τίς ἐστι τοῦ χα-
ρίζεσθαι πολίταις καὶ ἡγεμόσι καὶ πολὺ κακουργοτέρα
προαίρεσις· ἣν βαδίζοντές τινες Ἀθήνησι καὶ περιόντος

1. ἔργον ἐφ. a, ἐφ. ἔργον x, em. W — 2. πλὴν .. ὀλίγους (6) om. B — 3. μηδὲ ῥᾴδιά τισι M¹, μὴ ῥᾴδιόν τισι M², μὴ ῥᾴδιά τισι c, μηδὲν ἃ διάτισιν a — 4. τῶν ἐπιτηδ. Mc — πόλει om. c — ἃ προσήκει R, προσήκειν C — 5. δὲ A, τε M — ἄλλους εἶναι M — 9. αὐτοὺς M — 11. ἤδη: εἰμὶ M — 13. γράφουσι a — 14. με δίκην AB — προδοσίας Tur., προδοσίαν C — ἤδη AB, εἰμὶ M — 17. γε R, τε BaM, με c — 18. μέ om. A, fort. ἔφη ποτὲ φρονεῖν με, πάντων κτλ. — 19. ἐκεῖθεν M, ἐκεῖσε AB — παύσομαι γράφων post συμφέρειν c — 20. χαρ. μελλ. ὑμῖν: χαριζόμενος ὑμῖν μετὰ τοῦ δοκεῖν a — 22. οἱ: οὐ B — 24. πρόσχημα τῆς AB, προσχήματι τῆς Tur. — 26. καὶ πολὺ W, ἡ πολὺ A, πολὺ x — 27. παριόντος a.

ἐμοῦ παρ᾽ ὑμῖν, οὕτω γὰρ χρὴ λέγειν, καὶ νῦν, ὅσ[ον] ἐφ᾽
ὑμῖν, τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν ὡς
οὐκ ἐθελόντων ἄρχειν τῆς Ἑλλάδος, προτρέπονται δὲ ἐπὶ
5 τὴν ἡγεμονίαν ὡς δυναμένους. ὑμεῖς δὲ μετὰ τοῦ δοκεῖν
ἀργοὶ γεγονέναι δύνασθαι τῶν Ἑλλήνων ἄρχειν νομί-
ζεσθαι θέλετε μᾶλλον ἢ μετὰ τοῦ μένειν ὑμῶν τὰς προ-
θυμίας ἐνδεῖσθαι τῆς δυνάμεως. πυνθάνομαι γὰρ τε-
λευτήσαντος Ἀλεξάνδρου προτρέπειν τινὰς ὑμᾶς καινο-
τέρων ἅπτεσθαι πραγμάτων· ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα
6 συμβουλεύειν ὑμῖν μετὰ τοῦ ταῦτα συμφέρειν. οὐ γὰρ
ἠγνόουν, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, ὅτι λαμπρόν
ἐστι τὸ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δὲ Ἕλληνας
ἐλευθεροῦν, καὶ ταῦτά γε καὶ τοὺς πατέρας ἡμῶν προελο-
μένους· ἀλλ᾽ εἰς μὲν τὸ βούλεσθαι τὰ κράτιστα τὴν
γνώμην οὖσαν ἱκανήν, εἰς δὲ τὸ δύνασθαι καὶ πολλῆς
7 δυνάμεως καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. προσήκειν
οὖν μεμνῆσθαι καὶ ὑμᾶς ὑπελάμβανον, ὅτι Ἀθηναίοις
μὲν ἐπιστέλλομεν, Ἀθηναίοις δὲ οὐκ ἐν οἷς Θεμιστοκλῆς
ἐπολιτεύσατο, ἀλλ᾽ οἳ τὰς μὲν γνώμας ἐκείνων ἴσας, τὰς
μέντοι πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν.
ἐπεὶ δότωσαν μὲν ὑμῖν τριακοσίας τριήρεις οἱ τὰ τῆς
Ἑλλάδος ἄξια γράφοντες ὑμῖν, δότωσαν δὲ τρισμύρια
τάλαντα ἀργυρίου καὶ χρυσίου ἀπέφθου δισχίλια, δότω-
σαν δὲ ἀνδρῶν ἐν ἥβῃ τοσοῦτον πλῆθος, ἤδη γεγυμνα-
8 σμένων ἐν ὅπλοις· καὶ μηκέτι συμβουλευέτωσαν. αὐτοὶ
γὰρ εἰδήσομεν ἃ χρὴ πράττειν, δυνάμενοι τὰ δόξαντα
πράττειν, μηδὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες ὑμῶν
τοὺς προγόνους τε καὶ τὴν χώραν, ὅτι ἐγένοντο ἐν αὐτῇ
καὶ ὑπὲρ αὐτῆς διεφέροντο ἐν αὐτοῖς οἱ θεοί. ἐπεὶ

1. χρὴ a, με χρὴ x — 2. τεθνεῶτος: τὰ τεθνεῶτος παθόντος a — 4. ὑμεῖς δέ: ἐμοὶ a, ἐμοὶ μὲν B — 10. ἃ μετὰ ταῦτα συμφέρει M — 11. μά: μετὰ a — 15. ἱκανὴν οὖσαν BM — 15. 16. καὶ πολλῆς δυνάμεως *add.* W — καὶ *ante* τύχης *om.* B — 17. οὖν καὶ a — 19. γνώμας καὶ τὰς νοήσεις a — ἴσας S, εἰσὶ A, οὐ χείρους εἰσὶ BM — 20. μέντοι W, μέντοιγε a, δὲ x — 21. ἐπεὶ δότωσαν: ἐπιδότωσαν a — ὑμῖν c, ὑμῶν a, ἡμῖν x — 23. τρισχίλια M — 24. ἐν ἥβῃ Markl., ἐν ἥβῃ νέων C — τοσοῦτο A — 27. ὑμῶν Ba, ἡμῶν x — 29. διεφέροντο W, εἰσεγένοντο C — αὐτοῖς W, αὐτῇ C.



πύθεσθε αὐτῶν, τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν
πόλιν ὤνησε τῶν Ἀθηναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα
ὑπὲρ Ἁλιρροθίου ἐν Ἀρείῳ πάγῳ ἐκρίθη· ἀλλ᾽ εἰ πρὸς 9
Ἀντίπατρον, ἢ ὅστις ἄλλος Μακεδόνων βασιλεύς, ἱκανοί
ἐσμεν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν. κἂν ἱκανοὶ ὦμεν,
ἀγαθῇ τύχῃ ἀναλαβόντες τὰ ὅπλα εὐθέως ἐλευθερῶμεν
τοὺς Ἕλληνας· εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κολακευόμε-
νοι δὲ ἡσθησόμεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι
γεγονέναι τῶν συμφορῶν, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει
τοῖς κακῶς πράττουσιν, ἀτυχήσομεν; ἔστι δὲ καὶ πόλεως 10
καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον πρὸς τὰς παρούσας
ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύσασθαι· τὸ δὲ τὴν
μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖτε, ἐκ τῆς
πρόσθεν ἰσχύος ἔχειν, τὴν δὲ ἰσχὺν πάλαι ποτ᾽ ἐσχηκέ-
ναι μεγάλην, ὅμοιά γε φαίνεται, ὥσπερ ἂν εἴ τις Ὀλυμ-
πίασι πολλάκις νικήσας ὕστερον γέρων ὢν ἀπογράφοιτο
ἔτι καὶ προκαλοῖτο τοὺς ἀντιπάλους, ἀναμιμνησκόμενος
ἧς ἔσχηκεν, οὐ τῆς παρούσης, δυνάμεως. ἄξιον δὲ καὶ 11
ἃ λέγειν αὐτοὺς πυνθάνομαι λογίσασθαι μεθ᾽ ὑμῶν, ὡς
καινὰ καὶ θαυμαστὸν ὅσον εἰς ἃ βούλονται τῇ πράξει
συλλαβεῖν δυνάμενα. φάσκουσι γὰρ δεῖν ὑμᾶς ὁμονοεῖν,
ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους, ὅτι τοῦτο μὲν πάσῃ πό-
λει, καὶ πολεμεῖν καὶ εἰρηνεύειν βουλομένῃ, κράτιστόν
ἐστιν. δεῖ δὲ οὐ τοῦτο σκοπεῖν, εἰ ὁμονοητέον πολεμοῦ- 12
σιν· ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς ἕνεκα·
ἀλλ᾽ εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν
ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. ἕως δ᾽ ἂν μήτε
συστρατείας πολεμοῦντες ἔχωμεν, μήτε χρημάτων πόρους

4. ἄλλων a — 6. τὰ *om.* A — ἐλευθεροῦμεν BcM — 11. ἔργον Ma, ἔργον δεῖν Bc, ἔργον ἀεὶ R — 13. ἐπιχειρεῖτε Bkk., ἐπιχορηγεῖ τοῖς a, ἐπιχορηγεῖ x — 15. ὅμοιόν γε BM — 16. νικήσας πολλάκις BM — 17. ἀντιγράφους C, *em.* Tayl. *ex codice* — 19. αὐτοῖς ὡς a, αὐτοῖς B — 20. θαυμαστὸν R, θαυμαστά C — 21. φάσκουσι γὰρ δεῖν R, φάσκειν C — 23. εἰρήνην a, εἰρήνην ἄγειν c — 24. δεῖ δὲ οὐ τοῦτο c, ὑμῖν δεῖ δὲ οὐ τοῦτο a, ὑμῖν δὲ οὐ τοῦτο δεῖ B, ἡμᾶς δὲ οὐ τοῦτο δεῖ M — 24. 25. πολεμοῦσιν BM, ὑμῖν πολεμοῦσιν a, ὑμῖν πολ. ὑπὲρ τῶν ἑλλήνων c — 28. συστρατιὰς A — ἔχωμεν Markl., ἕξομεν C — σωροὺς a.

δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἔγγυον διδῶσι τοῦ πολέ-
13 μου, μηδὲν διαφέρειν αὐτοὺς αὐτίκα νομίζωμεν. ἀλλ᾽
ἐκεῖνον μέν, ὥσπερ ἦν ἄξιος παραπλὴξ τὴν διάνοιαν ὤν,
κατελύσατε εἰκότως· τούτοις δὲ ἀποχρησάτω μηδὲν πα-
θεῖν κακὸν παραδόξους λόγους μελετῶσι καὶ μηδὲ λεί-
ψανον ἐῶσιν ὑμῖν τι τῶν πραγμάτων, ἀλλὰ καὶ τούτων
φθονοῦσι πράττειν ἃ δεῖ βουλομένοις, ἕως ἂν τὸ Θη-
βαίων πολιτεύσωνται πολίτευμα, μηλόβοτον ὑμῶν γενέ-
σθαι τὴν χώραν καὶ κατασκαφῆναι τὴν πόλιν ἀναγκά-
σαντες. οὐ γάρ, εἰ κακῶς ἔχει τὰ πράγματα, διὰ τοῦτο
μηδέν, ὅπως μὴ χεῖρον ἕξει, φροντιστέον.

## 12.
## ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Ἐγὼ προσῆλθον τῷ πολιτεύεσθαι γεγονὼς ἔτη τρία
καὶ τριάκοντα, μὰ Δί᾽ οὐ τριταγωνιστεῖν μαθών, ὡς Δη-
μοσθένης ἔλεγεν, ἀλλὰ καὶ τραφεὶς ἐλευθερίως καὶ παι-
δείας φροντίσας τὰ μέτρια, καὶ λόγους οἵους λέγειν ἐν
2 Ἀθήναις ἔπρεπε. καὶ τούτους οὐκ εἰς συκοφαντίαν
γυμνάσας, οὐδέ τινι τῶν πολιτῶν δίκην δικασάμενος
εὑρεθήσομαι λαβὼν ἀργύριον, οὐδὲ ὕβρεις ἀποδόμενος,
ἀλλ᾽ οὐδὲ ὑβρισθεὶς ὅλως οὐδὲ ἀφορμὴν προπηλακισμοῦ
παρασχών, οὐδὲ εἰς δίκην τινὰ τῶν πολιτῶν καταστήσας
3 ἔξω Τιμάρχου μόνου. καὶ οὐκ ἀλαζονεύομαι πρὸς ὑμᾶς
ὡς πολλὰ πάνυ λαβεῖν ἐξόν μοι χρήματα μὴ λαβών, ἀλλ᾽
ὡς ἦν προσῆκον, δίκην κατὰ τοὺς νόμους λαβών. καὶ
μετὰ ταῦτα πάλιν Κτησιφῶντα, πολλὰ μὲν ὑπ᾽ αὐτοῦ
παθών, πολλὰ δὲ ὑπὸ Δημοσθένους, παρανόμων ἐγρα-
4 ψάμην, δικαιοτάτην ὦ θεοὶ γραφήν. καὶ οὐδὲν θαυμα-
στόν, εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λό-

2. αὐτοῦ R — αὐτίκα: *add.* M τῶν ἐμπλήκτων — 3. ἐκείνω a — μὲν *om.* B — 4. καταλύσατε B — τούτῳ δὲ a — ἀποχρησάτω Bkk., ἀπεχρήσατο a, ἀπόχρη τὸ x — 6. ἡμῖν A — 7. ἃ δεῖ: δὴ a — 8. ἡμῶν A — 13. *Titulum om.* A — 17. τραφεὶς Bkk., γράφειν C — 29. 30. θαυμαστῶν B.



γων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο. ἐφάνη
δὲ ἴσως ἐφ᾽ οἷς κατηγορήθην πρότερον ὑπὸ Δημοσθέ-
νους, πολὺ μείζοσι δηλονότι τούτων οὖσι, δι᾽ ἃ νῦν ἐξέ-
πεσον, οὐ μικρὸν δεῖγμα τοῦτο τοῦ καλῶς πολιτεύεσθαι
νομίζεσθαι, ὅτι οὐδὲ Δημοσθένους κατηγοροῦντος ἑάλων.
μετὰ δὲ ταύτην τὴν συμφορὰν καὶ τελέως καταφανῆ πᾶσι 5
τοῖς Ἕλλησιν, οὐχ ὅπως μόνοις ὑμῖν, ἐμαυτὸν οἴομαι
γεγονέναι. τίς γὰρ οὐκ οἶδεν, ὅτι ἀποθανόντες οἱ ἄν-
θρωποι καὶ φεύγοντες ἐκ τῆς πατρίδος, τότε δὴ καὶ
μάλιστα, ὁποῖοί τινες ἐγένοντο τοὺς τρόπους, διαδείκνυν-
ται; καὶ γὰρ ἃ συνέκρυπτον αὐτοὶ πρότερον, ἐκ μέσου 6
γενομένων ἀναφαίνεται καθαρῶς· αἰτιᾶται γὰρ πολὺ
μᾶλλον τῶν ἐχθρῶν ἕκαστος οὐδὲν ἀντειπεῖν δυναμένους.
οἱ δὲ δὴ φεύγοντες ἐπὶ τοιαύταις αἰτίαις, ὡς τὰ τῶν
πολεμίων ἀεὶ προαιρούμενοι καὶ παντελῶς, δεικνύουσι
καὶ τοὺς τρόπους καὶ τὰς ἐν τῷ πολιτεύεσθαι γενομένας
αὐτοῖς γνώμας καταφανεῖς· καὶ γὰρ καὶ ὅπως φέρουσι
τὰς συμφορὰς καὶ ὡς διάκεινται πρὸς τὰς ἑαυτῶν πα-
τρίδας, ἐξετάζονται σαφῶς. ἆρ᾽ οὖν καὶ Φιλίππῳ προ- 7
δοὺς τὴν ἐμαυτοῦ πατρίδα καὶ παραπρεσβεύσας τοιαῦτα
κατὰ τῆς πόλεως, καὶ δὴ θεραπεύσας Μακεδόνας, ἐπειδὴ
τάχιστα φεύγων παρ᾽ ὑμῶν ᾠχόμην, πρὸς Ἀλέξανδρον
ἀπηλλάγην, χάριν τε ὧν παρεσχόμην αὐτῷ κομιούμενος
καὶ προμηθείας δηλονότι τευξόμενος παρ᾽ αὐτῷ; καὶ οὐκ 8
ἔσθ᾽ ὅπως οὐχ ἑώρων τὰ μὲν ἐν Βοιωτίᾳ πανδοκεῖα
Δημάδην ἔχοντα καὶ χωρία ζευγῶν εἴκοσιν ἀροῦντα καὶ
χρυσᾶς ἔχοντα φιάλας, Ἡγήμονα δὲ καὶ Καλλιμέδοντα,
τὸν μὲν ἐν Πέλλῃ, τὸν δὲ ἐν Βερροίᾳ, καὶ δωρεὰς ἅμα

1. ἐφάνη .. (5) ἑάλων *om.* B, *add. post* γεγονέναι (8) — ἐφάνη: ἔφην A — 3. τούτων: οὕτως a — 4. δεῖγμα Tur., ὑμᾶς δεῖγμα A, εἰς ἡμᾶς δεῖγμα B, εἰς ὑμᾶς δεῖγμα M — πολιτεύεσθαι AB, ἐμὲ πολ. M, ἐμὲ πεπολιτεῦσθαι R — 5. νομίζεσθαι Ba, νομίζειν x — 6. τελέως Bkk., τέλεον ὡς a, τέλεον x — 9. καὶ Tur., οὕτω καὶ C — τῆς πατρίδος a, τῶν πατρίδων x — 10. τινες ὁποῖοι A, τίνες καὶ ὁποῖοι BM, *em.* Bkk. — 12. γενομένων ἐκείνων Bc — 13. ἕκαστος a, ἕκαστος αὐτοὺς BM, αὐτοὺς *post* μᾶλλον c — 17. καὶ γὰρ ὅπως BM — 19. καὶ a, ὡς καὶ x — 20. ἑαυτοῦ c — παρασκευάσας c — 21. καὶ δὴ a, ὡς δὴ x — 27. δὲ καί: μὲν καὶ a.

9 εἰληφότας καὶ γυναῖκας εὐπρεπεστάτας γεγαμηκότας. καὶ
μὴν οὐδὲ πρὸς Θηβαίους οὐδ᾽ εἰς Θετταλίαν ᾠχόμην
παρ᾽ ὑμῶν, οὐδὲ πρὸς ἄλλους τινὰς, παρ᾽ οἷς ἢ λοιδο-
ρεῖν ἔδει με τὴν πατρίδα τὴν ἐμὴν ἢ λοιδορουμένης αὐ-
τῆς ἀκούειν, ἀλλ᾽ εἰς Ῥόδον ἀφικόμην, οὔτε μὰ τὸν Δία
δυσμενῶν ὑμῖν οὔτ᾽ ἄλλως φιλαπεχθημόνων ἀνθρώπων
10 πόλιν. τὸ μὲν γὰρ ἄγχιστα τῆς ἑαυτοῦ πατρίδος ἑστάναι
κατειρωνευομένων ἔμοιγε τῆς συμφορᾶς εἶναι μᾶλλον ἢ
στεργόντων ἐδόκει τὴν πόλιν· τὸν δὲ ὄντως στέργοντα
τὴν ἑαυτοῦ πόλιν ὡς πορρωτάτω μᾶλλον αὐτῆς ἐχρῆν
ἀπιέναι, καὶ μηδὲν ἐν τοῖς ὄμμασιν ὑπόμνημα ἔχειν ὃ
11 τὴν γνώμην ἀμύξει. καὶ γὰρ οὐδ᾽ ἐνταῦθα μείνας, φα-
νείην ἂν, ἀλλὰ τῆς περαίας ἑλόμενός τι μικρὸν φρούριον·
κἀνταῦθα πριάμενος χωρία τοσούτων ταλάντων, ὅσων
εἰκὸς ἦν τὸν Φιλίππου μὲν πρότερον, εἶτ᾽ Ἀλεξάνδρου
μισθωτὸν γενόμενον καὶ Φωκεῖς προδόντα καὶ τὴν τῶν
Ἑλλήνων ἐλευθερίαν πεπρακότα, κάθημαι μεθ᾽ ἑπτὰ
θεραπόντων ἐνταῦθα καὶ δυοῖν μόνων γνωρίμων καὶ τῆς
12 μητρὸς, ἣ τρίτον ἔχουσα καὶ ἑβδομηκοστὸν ἔτος ἔπλευσε
σὺν ἐμοὶ μεθέξουσα τῆς δι᾽ ὑμᾶς μοι συμφορᾶς γενομέ-
νης, καὶ μετὰ γυναικὸς, ἣ συνεξέπεσέ μοι κωλύοντος
αὐτὴν τοῦ πατρὸς καὶ μένειν ἴσως ἀναγκαζόντων τῶν
νόμων, τὸν τρόπον τῆς πόλεως μᾶλλον ἢ τοὺς νόμους
ἐπισταμένη, καὶ μετὰ τριῶν παίδων οὐδέπω καὶ νῦν τῆς
ἑαυτῶν συμφορᾶς ἐπαισθομένων, οὐδὲ ὁποίαν αὐτοῖς ὁ
θεὸς δέδωκε γιγνομένοις πατρίδα τὴν Ἀθηναίων πόλιν,
13 ὁποίαν δ᾽ εὐθέως γενομένων αὖ ἀφῄρηται πάλιν. καὶ
ἕτεροι μὲν, ὡς ἔοικε, τοὺς ἑαυτῶν παῖδας, τοὺς ἢ ἐν

3. παρ᾽ οὓς B — 5. εἰς ῥώμην a — 6. δυσμεναίνων a — 7. ἑαυτοῦ Ba, ἑαυτῶν x — 8. τὰς συμφορὰς B — 11. ὄμμασιν a, ὀφθαλμοῖς x — 12. μείνας: add. C ἐν Ῥόδῳ, del. W — 13. περαίας Markl., στερεᾶς C — φρούριον: add. C Ἄμμον, del. W — 14. ταλάντων δυοῖν AB — ὅσον a — 16. γενόμενον W, ὕστερον γενόμενον C — 17. πεπρακότα W, Μακεδόσι C — 18. μόνον Bc — 20. 21. γενομένης om. a — 22. ἀναγκάζοντος a — 25. ὁποίαν .. πάλιν (27) om. c — 27. αὖ ἀφῄρηται πάλιν: ἀνῄρηντει πόλιν a, ἀνῄρηται πόλιν B (εὐθέως γενόμενοι ἀφῄρηνται M) — 28. τοὺς . τοὺς ἢ: ἢ τοὺς . ἢ τοὺς AB.



Βοιωτίᾳ γεννηθέντας ἢ ἐν Αἰτωλίᾳ, πρὸς ὑμᾶς πέμπουσι
τῆς αὐτόθι παιδείας μεθέξοντας· οἷς δὲ ταῦτα παρὰ
τῆς φύσεως ὑπῆρξεν, οὐ δημοποιήτου πατρὸς οὖσιν οὐδ᾽
ἐπ᾽ αἰτίαις αἰσχραῖς ἑαλωκότος, φεύγουσιν ἔτι νήπιοι,
καὶ τρέφονται πένητες ἐν ἐρημίᾳ τε καὶ φυγῇ πατρῴᾳ.
καὶ περὶ μὲν τῶν Λυκούργου παίδων Δημοσθένης ὑμῖν ἐπι- 14
στέλλει, καὶ δεῖται καλῶς ποιῶν χαρίσασθαι τὸ πατρῷον
αὐτοῖς ὄφλημα, καὶ ὑμεῖς οὐδὲν ἀλλ᾽ ἢ Ἀθηναίων ἔργον,
ἐλεήσαντες αὐτοὺς καὶ χαρισάμενοι, ἐποιήσατε· καὶ γὰρ
ὀργίζεσθαι ῥᾳδίως ὑμῖν ἔθος ἐστὶ καὶ χαρίζεσθαι πάλιν·
ἐγὼ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ παίδων οὐκ ἂν ὑμᾶς πείσαιμι 15
δεόμενος, ὡς μή μοι μὴ μόνον ἐν ὀρφανίᾳ τραφῶσιν,
ἀλλ᾽ ὀρφανοὶ ἅμα καὶ φυγάδες ὄντες, οὔτε ἀδικήσαντες
παῖδες ὄντες, ἀλλ᾽ οὐδὲ ἄλλως ἑαλωκότες, τὰ μέντοι
τῶν ἑαλωκότων πάντα πεπονθότες; εἶτα τελευτήσαντος
ἀναμνήσθητέ μου, καὶ χαρίσασθε τὰς δεήσεις, νῦν προσ-
έχοντες ἡμῖν. ἀλλὰ καὶ πράξατε, ἄνδρες Ἀθηναῖοι, καὶ
πείσθητε, τα συνήθη αὐτοῖς καὶ μέτρια ποιοῦντες. οὐ 16
γὰρ ἂν δὴ τῶν τρόπων ἀποσταίητε καὶ καταλύσαιτε τὴν
τῆς πόλεως δόξαν, ἣν ἐπὶ χρηστότητι μείζω καὶ φιλαν-
θρωπίᾳ διὰ παντὸς ἔσχεν ἢ ταῖς ἀρεταῖς πάσαις ἡ πό-
λις. οὐδ᾽ ἂν Μελάνωπος ἰσχύσειε πλεῖον κωλύων ὑμᾶς
μιμεῖσθαι τὴν ἑαυτῶν χρηστότητα καὶ φιλανθρωπίαν, ἢ
παρακαλῶν — οὐκ Αἰσχίνης, οὐδαμῶς μὰ τοὺς θεούς·
οὐ γὰρ αὐτάρκης οὐδ᾽ εὐτυχὴς πείθειν ἔγωγε τὴν πατρίδα 17
τὴν ἐμὴν, καὶ μάλιστα νῦν, ἐμαυτοῦ χάριν πείθειν δο-
κῶν· ἀλλ᾽ ὁ τῆς πόλεως τρόπος καὶ τὸ πάλαι ὑμῶν
ὄνομα καὶ τὸ τῶν προγόνων ἦθος, ᾧ ἀναγκαιότερον
δήπουθεν ἢ Μελανώπῳ καθ᾽ ἡμῶν δεομένῳ προσέχειν.

1. ἢ: δὲ a — 4. αἰτίας αἰσχρᾶς c — 6. τῶν om. c — παίδων: λόγων a¹ — 10. χαρίσασθαι c — 11. πείσαιμι W, πεισαίμην C, πείσαιμ᾽ ἂν R — 12. μή μοι μὴ R, μή μοι C — 15. τελευτήσαντες c — 16. νῦν οὐ R — 17. καὶ πράξατε: γὰρ εἴξατε R — 18. αὐτοῖς Tur., αὐτοῖς a, τε αὐτοῖς c, ὑμῖν αὐτοῖς BM — 19. τῶν om. c — ἀποστήσετε a — καταλύσετε B — 20. μείζω om. a — 21. ταῖς ἀρεταῖς W, ταῖς ἄλλαις C, τ. ἄλλ. ἀρεταῖς R — 28. τὸ om. B — 29. προσέχοιτε B.

# FRANKII INDEX NOMINVM.*)

Ἀγλαοκρέων ὁ Τενέδιος II, 20, 126. Cf. 97.
Ἁγνούσιος. Φιλοκράτης ὁ Ἁ. II, 13, Δερκύλος Αὐτοκλέους Ἁ. II, 155.
Ἀζηνιεύς. Ἀριστοφῶν ὁ Ἀ. I, 64. 158. III, 139. 194.
Ἄθως. ὁ τὸν Ἄθω διορύξας III, 132.
Ἀθηνᾶ III, 77. ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια II, 147. τὸν χρυσοῦν στέφανον ἱερὸν εἶναι τῆς Ἀθηνᾶς III, 46. Ἀθηνᾷ Προναίᾳ III, 108. 111. 121. Ἀθηνᾶς Προναίας III, 110. τὴν Ἀθηνᾶν III, 150. 219. ep. XI, 12.
Ἀθῆναι. ἐν Ἀθήναις ep. XII, 1. (Ἀθᾶναι ep. IV, 2.)
Ἀθήναζε III, 98. 114. ep. VI.
Ἀθηναῖος. ὅστις Ἀ. ὄντως ἐστὶ καὶ ὅστις μή I, 77. ἐάν τις Ἀ. ἑταιρήσῃ [I, 21.] Σόλωνος Ἀθηναίου III, 108. ὁ μισθούμενος τὸν Ἀθηναῖον I, 163.
Ἀθήνησιν. τῶν Ἀθ. πραγμάτων II, 36. τὰς Ἀθ. ἀρχάς III, 26. τὰ Ἀθ. ep. V, 2. Ἀθ. μὲν ἦμεν ἄξιοι II, 23. Cf. I, 89. II, 58. 93. III, 91, 114. ep. II, 2. III, 2. VI. XI, 4. 8. XII, 12. 14. τὸν Ἀθ. ὑβριστήν I, 108.
[Ἀθρώνη] ep. I, 4.
Αἰγηίς. Αἰγηίδος φυλῆς I, 125.
Αἰγινῆται. πρὸς Λακεδαιμονίους δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν II, 173.
Αἰσχίνης I, 134. II, 15. 51. 67. ep. II, 5. VI. XII, 16. Αἰσχ. ὁ Ἀτρομήτου ep. III, 2.
Αἰτωλία ep. XII, 13.
Ἀκάμας II, 31.
Ἀκαρνᾶνες. πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ III, 97. ἀποστῆσαι δὲ Ἀκαρνᾶνας III, 256.
Ἀκαρνανία. ἐξ Ἀκαρνανίας III, 97. 98.
[Ἀκραγαλλίδαι] cf. Κραυαλίδαι.
Ἀλέξανδρος ὁ Μολοττῶν βασιλεύς III, 142.
Ἀλέξανδρος frater Philippi II, 26.
Ἀλέξανδρος filius Philippi. τὸ τοῦ παιδὸς ὄνομα Ἀλεξάνδρου I, 166. Cf. 1, 168. 169. III, 219. εἰς τὴν ἀρχὴν κατέστη III, 160. πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν III, 238. εἰς τὴν Ἀσίαν διέβη III, 163. 164. 165. Demosthenes ἐπωνυμίαν Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο III, 160. θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως III, 66. Cf. III, 164. 216. 219. πολὺν τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον ἐν ταῖς διαβολαῖς φέρων III, 223.

*) [ ] indicat ea quae suspecta,
( ) ea quae e poetis ab Aeschine allata sunt.



Cf. 215. πολεμικῶς ἔχων πρὸς Ἀλέξανδρον III, 163. ἀντιπράττων Ἀλεξάνδρῳ III, 167. πέμψας ὡς Ἀλέξανδρον γράμματα III, 162. οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον III, 162. τὸν Ἀλέξανδρον ὑποτρέχει ib. Λακεδαιμόνιοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι III, 133. Praeterea ep. XI, 5. XII, 7. 11.
Ἀλεξίμαχος ὁ Πήληξ II, 83. 85.
Ἁλῆσι. τὸ Ἁ. χωρίον ep. V, 6.
Ἁλιρρόθιος ep. XI, 8.
Ἀλκιβιάδης. ὥσπερ Ἀλκιβιάδην ἢ Θεμιστοκλέα κρίνων II, 19.
Ἀλκιβιάδης. συμπαραπέμπων μετὰ τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς Φλιοῦντα παραπομπήν II, 168.
Ἁλόννησος III, 83.
Ἀλπωνός II, 132. 138.
Ἀλωπεκῆσιν I, 97. 99. 105.
Ἀμεινιάδης III, 130.
Ἄμμος, τῆς περαίας μικρὸν φρούριον ep. XII, 11. ἡ Ἀ. ep. IX, 1.
Ἀμύντας ὁ Φιλίππου πατήρ II, 32. 33. 28. Ἀμύντου II, 26. Ἀμύντᾳ ibid.
Ἀμύντωρ II, 64. Ἀμύντορα τὸν Ἐρχιέα II, 67. 68.
Ἀμφικτυόνες. τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυόνων καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων II, 115. bellum c. Cirrhaeis III, 107. 108. 109. 112. cum Phocensibus II, 94. 114. 117. 122. 138. 139. 142. cum Amphissensibus III, 115. 116. 118. 122. 124. 128. 129. ἐν τοῖς Ἀμφικτυόσι III, 114. τὸ κοινὸν τῶν Ἀμφικτυόνων II, 139. ἐκκλησία τῶν Ἀ. III, 124. τοὺς Ἀμφικτυόνας πρέσβεις II, 140. ὦ ἄνδρες Ἀμφικτυόνες III, 119.
Ἀμφικτυονίδες. πόλεις Ἀ. II, 116. μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων II, 115.
Ἀμφίπολις II, 21. 27. 29. 32. 43. 48. 52. 70. 72. III, 54.
Ἀμφιπολῖται II, 27. 33.
Ἀμφισθένης [I, 66].
Ἄμφισσα III, 125. 147.
Ἀμφισσεῖς. οἱ Λοκροὶ οἱ Ἀ. III, 113. 123. οἱ Ἀ. III, 116. 124. τῶν Ἀμφισσέων III, 114. 115. 117. 118. 119. 122. 124. τοῖς Ἀμφισσεῦσι III, 114. 129. τοὺς Ἀμφισσέας III, 128. 221. 237. Ἀμφισσεῦσι III, 146.
Ἀμφιτρίτη [III, 112.].
Ἀμφιτροπῆσιν I, 101.
Ἀναγυράσιος. Μειδίαν τὸν Ἀ. III, 115.
Ἀναξῖνος. Ἀναξίνου τοῦ Ὠρείτου III, 223.
Ἀναφλύστιος. Πύρρανδρος ὁ Ἀ. III, 139. Διογνήτου Ἀναφλυστίου III, 115.
Ἀνδοκίδης II, 174. τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον I, 125.
Ἄνδριοι. τῆς Ἀνδρίων πόλεως I, 108.
Ἄνδρος. ἐν Ἄνδρῳ I, 107.
Ἀνδρωνίδας ep. VIII.
Ἀνθεμοῦς. Ἀνθεμοῦντα II, 27.
Ἀντικλῆς Καλλίου Εὐωνυμεύς I, 53.
Ἀντικλῆς ὁ σταδιοδρόμος I, 157.
Ἀντικλῆς. κατὰ συνθήκας τὰς παρ' Ἀντικλεῖ κειμένας I, 165.
Ἀντίοχος ὁ ἐπὶ τῶν ὑπηρετικῶν II, 73.
Ἀντίπατρος III, 72. ep. XII, 9. ὁ δ' Ἀ. III, 165.
Ἀπόλλων. Ἀπόλλωνος ep. I, 2. X, 10. τοῦ Ἀ. καὶ τῆς Ἀρτέμιδος III, 110. 111. 121. τῷ Ἀ. τῷ Πυθίῳ III, 108. νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω I, 81. 88. 108.
Ἀργᾶς II, 99.
Ἀργεῖοι II, 176.
Ἄρειος πάγος. ἐγράψατο εἰς Ἄρειον πάγον III, 51. ἐν Ἀ. π. ἐκρίθη ep. XI, 8. ἡ ἐξ Ἀ. π. βουλή III, 252. ἡ βουλὴ ἡ ἐξ Ἀ. π. I, 81. 82. 84. 92. II, 93. III, 20. ἡ βουλὴ ἡ ἐν Ἀ. π. III, 20.
Ἀρεοπαγίτης. ἡμεῖς οἱ Ἀ. I, 83. ἦν ἐκ τῶν Ἀ. I, 81.
Ἄρης ep. XI, 8. [Ἄρηα III, 184.].
Ἄρθμιος ὁ Ζελείτης III, 258.
Ἀρίγνωτος I, 102. Ἀ. ὁ Σφήττιος I, 104. τοῦ Ἀ. I, 102. τῷ Ἀ. I, 103.
Ἀρίζηλος ὁ Τιμάρχου πατήρ I,

102. ὁ Ἀ. ὁ Τιμάρχου πατὴρ 1, 103. [τὸν Τίμαρχον τὸν Ἀριζήλου I, 68.]
Ἀρίσταρχος ὁ τοῦ Μόσχου I, 171. Ἀριστάρχου τοῦ Μόσχου II, 166. Ἀριστάρχου I, 172. II, 148. 166.
Ἀριστείδης Εὐφιλήτου Κηφισιεύς II, 155.
Ἀριστείδης ep. VII, 2. I, 25. III, 181. II, 23. III, 258. ep. VII, 3.
Ἀριστίων Πλαταϊκὸς ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός III, 162.
Ἀριστόβουλος ὁ φαρμακοπώλης III, 162.
Ἀριστογείτων, Ἁρμόδιον καὶ Ἀριστογείτονα I, 132. 140.
Ἀριστόδημος ὁ ὑποκριτής II, 15. 52. Ἀρ. II, 17. 19 (bis). ὁ Ἀρ. sexies: II, 16. 17. 19.
Ἀριστόδημος. στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς τῆς εἰρήνης συνθήκας λῃστεύσαντας III, 83.
Ἀριστοφάνης Ὀλύνθιος II, 154. 155. 158.
Ἀριστοφῶν ὁ Ἀζηνιεύς I, 64. 158. III, 139. 194.
Ἀρίστων Rhodius ep. VI.
Ἀρίφρων ὁ ἐκ Δαμαγήτου ep. IV, 1.
Ἀρκάδες II, 79. τοὺς μυρίους Ἀρκάδων II, 157. πάντων Ἀρκάδων III, 240.
Ἀρκαδία πᾶσα III, 165. ἐν Ἀ. II, 79.
Ἁρμόδιος. Ἁρμόδιον καὶ Ἀριστογείτονα I, 132. 140.
Ἄρτεμις. τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ τῇ Ἀρτέμιδι III, 108. τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος III, 110. 111. 121.
Ἀρτεμίσιον. τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν II, 75.
Ἀρχέδημος ὁ Πήληξ III, 139.
Ἀρχίδαμος ὁ Λάκων II, 133.
Ἀρχῖνος ὁ ἐκ Κοίλης III, 187. 195. Ἀρχίνου καὶ Θρασυβούλου προστάντων τοῦ δήμου II, 176.
Ἀσία, ἡ II, 147. III, 163. 238. 250.
Ἀστύοχος. Κρίτων ὁ Ἀστυόχου I, 156.
Ἀτρεῖδαι. (Ἀτρείδῃσι III, 185).
Ἀτρόμητος II, 147. Ἀ ὁ πατὴρ ὁ ἡμέτερος II, 78.
Ἄτταλος ὁ ἀθλητής ep. X, 8.
Ἀττική. πρὸς τῇ Ἀττικῇ II, 76.
Αὐλών. ἐν Αὐλῶνι I, 101.
Αὐτοκλείδης I, 52.
Αὐτοκλῆς. Δερκύλον Αὐτοκλέους Ἁγνούσιον II, 155.
Αὐτόλυκος I, 81. ὁ Α. I, 82. 83.
Ἀφιδναῖος. Δημοκράτης ὁ Ἀ. II, 17. Καλλίστρατος ὁ Ἀ. II, 124. Νικόδημος ὁ Ἀ. I, 172. II, 148.
Ἀφόβητος οὑτοσί II, 149.
Ἀφροδίτη ep. X, 6.
Ἀχαιοὶ πάντες III. 165. 95.
Ἀχαρνεύς. Λεωδάμας ὁ Ἀ. III, 138. Γλαῦκος ὁ Ἀ. II, 78. Τιμόμαχος ὁ Ἀ. I, 156.
Ἀχερδούσιος. Πάμφιλος ὁ Ἀ. I, 110.
Ἀχιλλεύς I, 133. 141. 142. 143. τῷ Ἀχιλλεῖ I, 146.

Βάταλος. ἐν παισὶν ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος II, 99. I, 126. ὁ Β. προσαγορεύεται I, 131. ὁ σοφὸς Β. I, 164.
Βέρροια ep. XII, 8.
Βοιωτάρχαι, οἱ III, 145. 149. 151.
Βοιωτία. ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον ἡγοίμην εἶναι καὶ μὴ τὴν Βοιωτίαν Θήβας II, 119. ἐκ τῆς Β. II, 141. τὴν Β. πᾶσαν III, 142. ἐν Β. ep. XII, 8. 13.
Βοιωτοί II, 142. Βοιωτῶν II, 104. 122. 142. 143. τὰς ἐν Βοιωτοῖς πόλεις II, 116. 137. Βοιωτοὺς II, 116. Βοιωτοῖς τοῖς ἐν Θήβαις III, 142. τῆς τῶν Βοιωτῶν φυγῆς II, 143. ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν III, 140. τοὺς Β. III, 142.
Βόσπορος III, 171.
Βουζύγης. μετὰ Δημαινέτου τοῦ Βουζύγου II, 78.
Βυζάντιοι III, 256. ὁ Βυζάντιος Πύθων II, 125.



Γανιάς Γανιάδα III, 82.
Γάνος III, 82.
Γλαυκέτης III, 91.
Γλαῦκος. Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱός II, 78.
Γλαῦκος ὁ παλαιὸς ἐκεῖνος πύκτης III, 189.
Γλαύκων Χολαργεύς I, 62. 65. Γλ. Τιμαίου Χολαργεύς [I, 66.]
Γνωσίδημος ὁ Χαριγένους υἱὸς τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ III, 103. 104.
Γύλων ἐκ Κεραμέων III, 171.

Δαμάγητος ep. IV, 4. Ἀρίφρων ὁ ἐκ Δαμαγήτου ep. IV, 1.
Δαναοί. Δαναῶν πύκα χαλκοχιτώνων (III, 185.)
Δαρεῖος III, 164.
Δεκέλεια II, 76.
Δελφοί. Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσιν III, 122.
Δελφοί (oppidum) II, 114. III, 106. 107. 113. 115. 123. 126. 130. 132.
Δερκύλος II, 47. 140.
Δερκύλος Αὐτοκλέους Ἁγνούσιος II, 155.
Δηιάρης II, 71.
Δηίπυρος II, 71.
Δῆλος ep. I, 1.
Δήλιοι ep. I, 2.
Δημάδης ep. XII, 8.
Δημαίνετος ὁ Βουζύγης II, 78.
Δημοκράτης ὁ Ἀφιδναῖος II, 17.
Δημομέλης ὁ Παιανιεύς II, 93. III, 51.
Δημοσθένης ὁ Παιανιεύς (oratoris pater) III, 171. 172. Δημοσθένους υἱὸς εἶ τοῦ μαχαιροποιοῦ II, 93.
Δημοσθένης ὁ ἐμὸς κατήγορος II, 17. 82. ὁ τηλικαύτας τιμωρίας λαμβάνων I, 173. ὁ τὴν τάξιν λιπὼν III, 181. ὁ χρηστὸς οὗτος Δ. II, 36. ὁ περιττὸς ἐν τοῖς λόγοις Δ. I, 119. II, 114. III, 172. ὁ μισοφίλιππος Δ. II, 14. III, 66. ὁ μισοτύραννος Δ. III, 92. ὁ ἐπιδακρύσας ἀρτίως ἐνταυθὶ Δ. II, 85. ὁ Δ. III, 14. 24. 60. 212. 214. — τὴν τοῦ Δημοσθένους δωροδοκίαν III, 214. τὸ τοῦ Δ. ψήφισμα II, 61. τὰ ψηφίσματα τὰ Δ. II, 54. — μὴ Δημοσθένην καλούμενον, ἀλλὰ Βάταλον I, 126; τὸν κίναιδον Δημοσθένην I, 181. τὸν Δημοσθένην II, 14. III, 60. 202. 205., Δημοσθένην II, 38. III, 140. 200. 202 (bis), itemque in ep. V, 6. XI, 3. XII, 1. 3. 4. 11. 14. — Δημόσθενες II, 59. 127. III, 56. 163. 165. 209. ὦ Δ. I, 127. II, 78. 86. 147. 148. III, 23. 208. 218.
Δημόφιλος. τῶν Δημοφίλου πολιτευμάτων I, 86.
Δήμων. τὴν ἐν Κολωνῷ συνοικίαν τὴν Δήμωνος καλουμένην I, 125.
Διαγόρειοι, οἱ ep. IV, 4.
Διόγνητος Ἀναφλύστιος III, 115. ὁ ἱερομνήμων Δ. ibid.
Διόδωρος ὁ δολιχοδρομήσας III, 91.
Διονύσια. ἐπειδὴ παρεληλύθει τὰ Δ. III, 69. μετὰ τὰ Δ. τὰ ἐν ἄστει II, 61. III, 68. ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει ἡ πομπή I, 43. ἐν τῇ πομπῇ τῶν Δ. II, 151. θέαν εἰς τὰ Δ. κατανεῖμαι τοῖς πρέσβεσιν II, 55. τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Δ. τοῖς πρέσβεσι ψήφισμα II, 110. τοὺς κριτάς τους ἐκ τῶν Δ. III, 232. ἐν τοῖς κατ' ἀγροὺς Δ. I, 157.
Διονυσιακὸς. τὸν Δ. νόμον III, 35.
Διονύσιος ὁ Σικελίας τύραννος II, 10.
Διόνυσος ep. X, 10. τὸ ἱερὸν τοῦ Δ. III, 176. ἐν τῇ τοῦ Δ. ὀρχήστρᾳ III, 156. μὰ τὸν Δ. I, 52. ἐν Διονύσου II, 61. III, 52.
Διοπείθης ὁ Σουνιεύς I, 63. ὁ Δ. ibid.
Διόφαντος. τὸν ὀρφανὸν καλούμενον Δ. I, 158.
Δίφιλος [I, 68.]
Δράκων, ὁ. I, 6.
Δωριεῖς. Δωριέας II, 116.

Ἕκτωρ. τῆς Ἕκτορος τιμωρίας I, 148. τὴν τοῦ Ἕ. κεφαλὴν I, 145. (μεθ' Ἕκτορα I, 150.)

Ἐλάτεια III, 140.
Ἑλλανοδίκαι, οἱ. ep. IV, 5.
Ἑλλάς, ἡ. I, 117. 120. II, 58. 60. 71. 112. 156. III, 58. 128. 131. 133. 134. 157. 158. 258. ep. III, 2. XI, 3. 4. 7. Ἑλλάδος (sine artic.) ep. IV, 2.
Ἕλλην. τίς — ἄνθρωπος Ἕλλην III, 154. τοὺς ἄλλους Ἕ. II, 79. ἁπάντων ἀνδρῶν Ἑλλήνων ep. IV, 1. ὦ ἄνδρες Ἕλληνες III, 117. praeterea οἱ Ἕλληνες sexagies sexies scriptum est, item in ep. XI, 5. 6. 9. XII, 5. 11.
Ἑλληνικός. ἔχοντος Ἑλληνικὴν δύναμιν II, 27. μετασχεῖν Ἑλληνικοῦ συνεδρίου III, 58. μηδενὸς λόγου Ἑλληνικοῦ ἀνήκοον εἶναι II, 120. ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι II, 114. τὰς Ἑλληνικὰς πρεσβείας II, 62. περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν I, 64.
Ἑλληνίς. πόλεως ἥστινος βούλει τῶν Ἑλληνίδων τοὔνομα II, 59. γῆς ἁπάσης Ἑλληνίδος ep. XI, 3.
Ἑλλήσποντος I, 55. 56. [68.] III, 51. ὁ τὸν Ἑ. διαζεύξας III, 132.
Ἐμπέδων. Ἐμπέδωνα III, 91.
Ἐννέα ὁδοί. τῶν καλουμένων Ἐννέα ὁδῶν II, 31.
Ἐπαμεινώνδας II, 105.
Ἐπίδαμνος ep. X, 9.
Ἐπικράτης II, 150. 151. 152.
Ἐπώνυμοι, οἱ. II, 168. III, 39.
Ἐργίσκη III, 82.
Ἐργοχάρης II, 15.
Ἐρέτρια I, 113. III, 94. 100. 103.
Ἐρετριεύς. τὸν Ἐρετριέα II, 116. Θεμίσωνος τοῦ Ἐρετριέως III, 85. Ἐρετριεῦσι II, 164. τῶν Ἐρετριέων III, 100.
Ἑρμαῖα I, 10. τοῖς Ἑρμαίοις [I, 12.]
Ἑρμῆς. τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον I, 125. τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι III, 183. 184. 185. ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν III, 183.
Ἑρχιεύς. Θράσων ὁ Ἑ. III, 138. Ἀμύντορα τὸν Ἑρχιέα II, 67. 68.
Ἑστία. τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν II, 45.
Ἐτεοβουτάδαι II, 147.
Εὐβοεῖς. τῶν Εὐβοέων II, 12. III, 84 (bis). τοὺς Εὐβοέας II, 119. III, 237.
Εὔβοια. ἐν Εὐβοίᾳ III, 95. Εὔβοιαν II, 169. III, 85. 86. τῆς Ε. III, 85. ἐξ ἁπάσης τῆς Ε. III, 87. τὴν Ε. II, 120. 175. III, 89. 221.
Εὐβοϊκός. Εὐβοϊκὸν συνέδριον III, 89. 94.
Εὔβουλος II, 8. 184. III, 25.
Εὐθύδικος. ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου I, 40. [I, 50.]
Εὐκλείδης. τὰ πρὸ Εὐκλείδου I, 39.
Εὔκρατος ὁ Στρομβίχου υἱός II, 15.
Εὐμολπίδαι III, 18.
Εὐπόλεμος ὁ παιδοτρίβης I, 102.
Εὐριπίδης. ὁ τοίνυν οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης I, 151. Εὐριπίδῃ I, 153. τὸν Εὐρ. I, 128.
Εὔριπος, ὁ. III, 90.
Εὐρύβατος III, 137.
Εὐρυδίκη II, 26. 28.
Εὐρώπη, ἡ. III, 250.
Εὐφίλητος II, 155.
Εὐωνυμεύς. Ἀντικλῆς Καλλίου Εὐωνυμεύς I, 53.

Ζελείτης. Ἄρθμιον τὸν Ζελείτην III, 258.
Ζεύς (I, 144.) εὐρύοπα Ζ. (III, 135.) πρὸς Διός ep. II, 4. I, 70. 79. 87. III, 156. παρὰ τοῦ Διός III, 77. νὴ Δία I, 28. 98. III, 172. 217. μὰ Δία I, 61. 69. ep. XII, 1. νὴ τὸν Δία I, 88. 108. νὴ τὸν Δία τὸν Ὀλύμπιον I, 81. μὰ τὸν Δία τὸν Ὀλύμπιον I, 55. 76. III, 255. μὰ τὸν Δία ep. XI, 6. XII, 9.

Ἡγήμων ep. XII, 8. τὸν Ἡγήμονος νόμον III, 25.
Ἡγήσανδρος Διφίλου Στειριεύς [I, 68. 66.]
Ἡγήσανδρος [Σουνιεύς I, 63.] I, 55. 58. 62. 70. 154. ὁ Ἡγ. I, 58. 60. 63. 64. (bis). 67. 70. ὁ Ἡ. ὁ τοῦτον ἔχων I, 95. οὗτος ὁ Ἡ. I, 56. Ἡ. ἐκεῖνος I, 111. Ἡγ. οὗτος ὁ Κρωβύλου ἀδελφός I, 110. αὐτὸν τὸν Ἡγ. I, 67.
Ἡγήσιππος. Vid. Κρωβύλος.
Ἠιών. (ἐπ' Ἠιόνι III, 184.)
Ἠλεῖοι III, 165.
Ἥρα. τὴν Ἥραν III, 219.
Ἡρακλῆς ep. X, 9. μὰ τὸν Ἡρακλέα I, 88. III, 212. ὦ Ἡράκλεις I, 49. III, 21.
Ἡσίοδος ὁ ποιητής III, 134. Ἡσ. III, 136. ὁ Ἡσ. I, 129. II, 144. 158.

Θαργηλιών III, 27.
Θεμιστοκλῆς ἄρχων III, 62.
Θεμιστοκλῆς ὁ στρατηγήσας III, 181. ὁ Θ. ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ep. III, 2. Θεμ. II, 9. III, 259. ep. VII, 2. 3. XI, 7. ὁ Θ. I, 25.
Θεμίσων ὁ Ἐρετριεύς III, 85. Θεμίσωνι II, 164.
Θεόφραστος. ἐπὶ Θεοφράστου ἄρχοντος III, 115.
Θέρμα II, 27.
Θέρσανδρος I, 52.
Θερσίτης, ὁ. III, 231.
Θέτις, ἡ. I, 150. Θέτιδος τῆς αὐτοῦ μητρός I, 145.
Θετταλία II, 92. III, 83. ep. XII, 9.
Θετταλοί (sine artic.) II, 116. 132. 136. 138. 140. 141. III, 140. 161. 167.
Θῆβαι δέ, Θῆβαι III, 133. II, 119. τὰς Θήβας II, 119. ἐν Θήβαις III, 138. 142. 148. 151. ἐν ταῖς Θ. III, 150. εἰς Θήβας III, 76. 138. 145. 151. εἰς τὰς Θ. III, 140. 141. περὶ τὰς Θ. III, 161. αὐτὰς τὰς Θ. III, 140.
Θηβαῖος. Πίνδαρος ὁ Θ. ep. IV, 3.
Θηβαῖοι II, 137. III, 85. 137. ep. IV, 3. XI, 13. XII, 9. τῶν Θηβαίων πρέσβεων II, 141. τῇ Θηβαίων συμμαχίᾳ III, 84. τοὺς ταλαιπώρους Θηβαίους III, 156. φεύγοντας Θηβαίους II, 164. Praeterea τῶν Θηβαίων II, 105. 136 (bis). III, 84. 239., Θηβαίων decies; τοῖς Θηβαίοις III, 240., Θηβαίοις septies, τοὺς Θηβαίους III, 116., Θηβαίους quindecies.
Θησεῖον. ἐν τῷ Θησείῳ III, 13.
Θησεύς II, 31.
Θράκη II, 9. 82. 89. 98. 101. III, 61. 65. 73.
Θρασύβουλος ὁ Κολλυτεύς III. 138.
Θρασύβουλος ὁ Στειριεύς II, 195. Ἀρχίνου καὶ Θρασυβούλου προστάντων τοῦ δήμου II, 176.
Θρασυκλῆς ὁ ἐξ Οἴου III, 115.
Θράσυλλος. ἐπὶ Θρασύλλῳ I. 101.
Θρασύμαχος ep. IV, 6.
Θράσων ὁ Ἑρχιεύς III, 138.
Θρέγιον II, 132.

Ἰατροκλῆς ὁ Πασιφῶντος II, 126. 15. 16. 20. τοῦ Ἰ. II, 16.
Ἱερὸν ὄρος II, 90.
Ἰλιάς, ἡ. I, 128. III, 100. ep. X, 2.
Ἴλιος. εἰς Ἴ. ep. X, 1. ἐν Ἰ. ep. X, 2. 9. (Ἴλιον ἐκπέρσαντα I, 144.)
Ἴμβρος II, 72. 76.
Ἰόνιος. κατ' Ἰόνιον ep. X, 9.
Ἰουλιάδης, ὁ. ep. V, 1.
Ἰφικράτης I, 157. II, 27. 28. 29. 149. III, 243.
Ἴωνες II. 116. τῶν Ἰώνων ibid.

Καδμεία, ἡ. II, 105. III, 145.
Καλλίας. Ἀντικλῆς Καλλίου Εὐωνυμεύς I, 53.
Καλλίας. Φαῖδρος Καλλίου Σφήττιος I, 43.
Καλλίας ὁ Χαλκιδεύς III, 86. 89. 94. αὐτὸς ὁ Κ. III, 195. ὁ Κ. III, 97. 104., sine artic. III, 85. 92. 93. 100. 101. 103.
Καλλικράτης II, 134.
Καλλιμέδων ep. XII, 8.
Καλλιρρόη ὄνομα παρθένος ep. X, 3. 5. ἡ Κ. ep. X, 4.
Καλλισθένης II, 30.

Καλλίστρατος ὁ Ἀφιδναῖος II, 124.
Κάμειρος. ἐν Καμείρῳ ep. V, 2.
Καρίων. ὁ τοὺς Καρίωνας καὶ Ξανθίας ὑποκρινόμενος II, 157.
Κεῖοι. Κορησσὸς ἡ Κείων ep. I, 1.
Κεραμεῖς. Γύλων ἦν ἐν Κεραμέων III, 171.
Κέρκυρα III, 243.
Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεύς III, 61. 85. ὁ Κ. II, 92. 93. III, 74.
Κέφαλος. ὁ Κ. ὁ παλαιὸς ἐκεῖνος III, 194.
Κηδωνίδης I, 52.
Κήρυκες III, 18.
Κηφισιᾶσιν I, 101.
Κηφισιεύς. Ἀριστείδην Εὐφιλήτου Κηφισιέα II, 155.
Κηφισόδοτος. τὴν Κηφισοδότου στρατηγίαν III, 51.
Κηφισόδωρος ὁ τοῦ Μόλωνος καλούμενος I, 158.
Κηφισοφῶν ὁ Παιανιεύς II, 73.
Κιθαιρών. ἐκ μέσου τοῦ Κιθαιρῶνος III, 161.
Κιλικία III, 164.
Κίμων II, 21.
Κίμων ep. X, 1 sqq.
Κίμωνος τοῦ Μιλτιάδου II, 172.
Κιμώνειος. τὸ Κιμώνειον ἄγος ep. X, 10.
Κιρραῖος cf. Κρισαῖος.
Κιρραῖοι III, 107. 108.
Κλεαγόρας. Πανταλέοντα τὸν Κλεαγόρου I, 156.
Κλεαίνετος ὁ χοροδιδάσκαλος I, 98.
Κλείταρχος ὁ τύραννος III, 103.
Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱός II, 78.
Κλεοκράτης ep. IV. V.
Κλεοπάτρα ἡ Φιλίππου θυγάτηρ III, 242.
Κλεοφῶν ὁ λυροποιός II, 76. τὴν Κλεοφῶντος πολιτείαν III, 150.
Κλεοχάρης ὁ Χαλκιδεύς II, 120.
Κνωσίων II, 149.
Κοθωκίδαι ep. V, 3.
Κοίλη. Ἀρχῖνος ὁ ἐκ Κοίλης III, 187. 195.
Κολλυτεύς. Μισγόλας Ναυκράτους Κολλυτεύς I, 41. Θρασύβουλος ὁ Κ. III, 138.
Κολλυτός ep. V, 6. ἐν Κολλυτῷ I, 157.
Κολωνός. ἐν Κολωνῷ I, 125.
Κόνων. Τιμόθεος ὁ Κόνωνος II, 70.
Κορησσὸς ἡ Κείων ep. I, 1.
Κόρινθος. εἰς Κ. II, 148.
Κόρραγας. Λακεδαιμόνιοι διέφθειραν τοὺς περὶ Κόρραγον στρατιώτας III, 165.
[Κορώνη] ep. I, 4.
Κόττυφος III, 124. Κ. ὁ Φαρσάλιος III, 128.
Κοτύλαιον. τὸ Κ. ὀνομαζόμενον ὄρος III, 86.
Κραναλίδαι III, 107. 108.
Κρήτη ep. I, 3.
Κρισαῖος. τὸ Κρισαῖον πεδίον III, 107. 118. 123.
Κριτίας εἷς τῶν λ' I, 173.
Κριτόβουλος ὁ Λαμψακηνός II, 83. ὁ πρεσβευτὴς ὁ παρὰ Κερσοβλέπτου II, 86.
Κρίτων ὁ Ἀστυόχου I, 156.
Κρονίων (III, 135.).
Κρωβύλος. ὁ Κρ. ἐκεῖνος III, 118. ὁ ἀδελφὸς αὐτοῦ Κρωβύλος I, 64. 71. ὁ Κρωβύλου ἀδελφός I, 110.
Κτησιφῶν sine articulo quater et vicies, bis in ep. V, 6. XII, 3. ὁ Κτ. II, 13. III, 26. 33. 36. 105. 214. ὦ Κτ. II, 43. III, 53. 242. ep. II, 5.
Κυδαθηναιεύς. Φιλωτάδην τὸν Κυδαθηναιᾶ I, 114.
Κυτίνιον II, 116.

Λακεδαιμόνιοι I, 180. 182. II, 32. 76. 77. 78. 104. 116. 135. 136. 164. 172. 176. III, 133. 150. 165. 187. 222. 243. οἱ Λ. I, 180 (ter). 181 (bis). II, 174. 173.
Λάκων. Ἀρχιδάμου τοῦ Λάκωνος II, 133.
Λακωνικός. Τὰ Λακωνικὰ συστῆσαι III, 167.
Λαμψακηνός. Κριτόβουλος ὁ Λ. II, 83.
Λάρισσα II, 41.
Λεοντῖνοι II, 76.



Λεπτίνης ep. V, 7.
Λεῦκτρα. ἐν Λεύκτροις II, 164.
Λευκωνίδης ὁ Φιλωτάδου κηδεστής I, 115.
Λεωδάμας ὁ Ἀχαρνεύς III, 138. Λεωδ. I, 111. [68.] τὸν Λ. I, 69. 70.
Λεωσθένης II, 21. ὁ Λ. ὁ φεύγων II, 124.
Λῆμνος II, 72. 76.
Λητώ III, 108. 110. ἡ Λ. III, 111. 121.
Λιβυκός. πνεῦμα Λιβυκὸν ep. I, 4.
Λίνδος ep. V, 1.
Λιπαρός II, 143.
Λοιδίας. κατὰ τὸν Λοιδίαν ποταμόν II, 124.
Λοκροί II, 116. οἱ Λ. οἱ Ἀμφισσεῖς III, 113. 123.
Λυκῖνος II, 14. III, 62.
Λυκοῦργος. οἱ Λυκούργου παῖδες ep. XII, 14.

Μαγνησία ep. X, 8.
Μάγνητες II, 116.
Μαίανδρος ὁ ποταμός ep. X, 8.
Μακεδόνες II, 27. 138. ep. XI, 3. 9. XII, 7. 11. οἱ Μ. III, 73.
Μακεδονία II, 16. 22. 23. 29. 56. 58. 72. 92. 101. 113. 136. 146. III, 73. 78. 83. 89. 128. 160. ἡ Μακεδονία II, 152.
Μαλιᾶς (accus.) II, 116.
Μαντίας ὁ γραμματιστής ep. IV, 2.
Μαντίνεια. ἐν Μ. II, 164. 169.
Μαραθών. ἐν Μαραθῶνι II, 75. III, 181. 186. 259.
Μαργίτης. ἐπωνυμίαν Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο III, 160.
Μεγάλη πόλις III, 165.
Μεγαρεῖς. Μεγαρέας II, 175. III, 95.
Μειδίας III, 52. 212. τῷ Μ. III, 115. Μειδίαν ἐκεῖνον τὸν Ἀναγυράσιον ibid.
Μελανιππίδης ep. X, 10.
Μελάνωπος ep. IV, 2. VII, 1. 4. XII, 16. 17.
Μελησίας. Φειδίαν τὸν ἀδελφὸν τοῦ Μελησίου I, 157.
Μενεσθεύς (III, 185.).
Μενοίτιος. πρὸς τὸν πατέρα τὸν Πατρόκλου [Μενοίτιον] I, 143. (ἥρωα Μενοίτιον I, 144.)
Μεταγένης ὁ Σφήττιος I, 100. II, 134.
Μῆδοι III, 116. 183. 258. 259. ep. XI, 3. (Μήδων παισίν III, 184.)
Μιλτιάδης III, 181. 186. ep. III, 2. Κίμωνος τοῦ Μ. II, 172.
Μισγόλας Ναυκράτους Κολλυτεύς I, 41. [Μ. Νικίου Πειραιεύς I, 50 bis]. ὁ Μ. I, 43. 46. 49. 53. Μισγόλα I, 50. αὐτοῦ Μισγόλα ib. τοῦ Μ. I, 43. 53. Μισγόλᾳ I, 42. 45. 47. τῷ Μ. I, 51. 52. 67. Μισγόλαν I, 44.
Μνάσων ὁ Φωκεύς II, 143.
Μνήσαρχος ὁ Χαλκιδεύς III, 85.
Μνησίθεος ὁ Μυρρινούσιος I, 98.
Μνησίθεος ὁ τοῦ μαγείρου καλούμενος I, 158.
Μολοττοί. τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου III, 242.
Μόλων. Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον I, 158.
Μόσχος. Ἀρίσταρχος ὁ Μόσχου II, 166. ὁ τοῦ Μ. I, 171.
Μουνυχία ep. I, 1.
Μουσεῖα I, 10.
Μυόννησος II, 72.
Μυργίσκη III, 82.
Μυρρινούσιος. Μνησίθεος ὁ Μ. I, 98.
Μυρωνίδης ep. IX, 2.

Νάξος II, 175. III, 243. ἐν Ν. III, 222.
Ναυκράτης. Μισγόλας Ναυκράτους Κολλυτεύς I, 41.
Ναυσικλῆς II, 18. 184. III, 159.
Ναυσικράτης ὁ κωμικὸς I, 98. τὴν Ναυσικράτους μαρτυρίαν I, 100.
Νεμεάς. τὴν Νεμεάδα καλουμένην χαράδραν II, 168.
Νίκαια II, 132. 138. III, 140.
Νικίας ὁ Νικηράτου II, 175.
Νικίας. [Μισγόλας Νικίου Πειραιεύς I, 50.]
Νικίας ep. VIII.

Νικόδημος ὁ Ἀφιδναῖος I, 172. II, 148.
Νικόστρατος I, 86. Νικόστρατος ὁ πρὸς μητρὸς θεῖος ep. II, 1.
Νικόφημος. ἐπὶ ἄρχοντος Νικοφήμου I, 109.
Νύμφαιον τὸ ἐν τῷ Πόντῳ III, 171.

Ξανθίας. ὁ τοὺς Καρίωνας καὶ Ξανθίας ὑποκρινόμενος II, 157.
Ξενόδοκος τῶν ἑταίρων τις τῶν Φιλίππου II, 157.

Οἰταῖοι II, 116. 142.
Ὀλύμπια ep. IV, 5. τὰ Ὀ. III, 179.
Ὀλυμπιακός. ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς II, 12.
Ὀλυμπίασι III, 189. ep. IV, 5. XI, 10.
Ὀλυμπιονῖκαι ep. IV, 5. 6.
Ὀλύμπιος. τοὺς θεοὺς τοὺς Ὀλ. II, 182. 228. μὰ (νὴ) τὸν Δία τὸν Ὀλ. I, 55. 76. 81. III, 255.
Ὀλύνθιος. Ἀριστοφάνης Ὀλύνθιος II, 154. 155. γυναῖκα τὸ γένος Ὀλυνθίαν II, 4. τὴν Ὀλ. γυναῖκα II, 153.
Ὅμηρος I, 128. 133. 141. 142. 147. III, 231. (185.)
Ὀπλιστίας ep. V, 2.
Ὀποῦς. εἰς Ὀποῦντα I, 143. (εἰς Ὀπόεντα I, 144.)
Ὀρχομένιοι II, 141.

Παιανιεύς. Κηφισοφῶν ὁ Π. II, 73. Δημοσθένης ὁ Π. III, 171. 172. Δημομέλην τὸν Παιανιέα II, 93. III, 51. Παιανιέων II, 150.
Παλλάδιον. ἐπὶ Παλλαδίῳ II, 87.
Πάμφιλος ὁ Ἀχερδούσιος I, 110.
Πανδιονίς. ἡ Π. φυλή III, 31. τοῦ τῆς Πανδιονίδος ταξιάρχου II, 169.
Πανταλέων ὁ Κλεαγόρου I, 156.
Πάραλοι, οἱ. III, 162.
Παρμένων ὁ ὑποκριτής I, 157.
Πασιφῶν. Ἰατροκλῆς ὁ Πασιφῶντος II, 126.
Παταικίων III, 189.
Πάτροκλος I, 133. 141. 142. 143. 146. ὁ Π. I, 149. τὸν τοῦ Πατρόκλου θάνατον I, 143. 145. 150.
Παυσανίας aemulus Philippi II, 27. 29.
Παυσανίας interfector Philippi III, 160. 219.
Πειθώ III, 256.
Πειραιεύς. ἐν Πειραιεῖ I, 40. III, 209. τὸν Πειραιᾶ II, 173.
Πέλλα II, 108. III, 160. ep. XII, 8.
Πελληνεῖς. Πελληνέων III, 165.
Πελοποννήσιοι III, 97.
Πελοπόννησος. ἐκ Π. III, 95. 97. 98. διὰ μέσης Π. II, 75.
Περδίκκας Amyntae filius II, 26. 28. 29. 30.
Περιθοίδης. Περικλείδης ὁ Π. I, 156.
Περικλείδης ὁ Περιθοίδης I, 156.
Περικλῆς, ὁ. I, 25.
Περραιβοί II, 116. III, 167.
Πέρσης. ὁ Πέρσης (Persae) II, 74. 172. III, 132. 181. Πέρσαι ep. XI, 3. οἱ Πέρσαι II, 75. ὁ τῶν Περσῶν βασιλεύς II, 149. III, 132. 163. 238.
Περσικός. τῆς Περσικῆς ἵππου III, 164.
Πήληξ. Ἀλεξίμαχος ὁ Π. II, 83. Ἀρχέδημος ὁ Π. III, 139.
Πίνδαρος ὁ Θηβαῖος ep. IV, 2. ὁ μέγας Π. ep. IV, 1. Cf. 3. 4.
Πιττάλακος. ἔστι τις Π. ἄνθρωπος δημόσιος [οἰκέτης τῆς πόλεως] I, 54. [I, 66. 68.] ὁ Π. I, 55. 57–62. 64. 65.
Πλαταιαί. ἐν Πλαταιαῖς II, 75. III, 259.
Πλαταϊκός. Ἀριστίων Πλ. III, 162.
Πλούταρχος III, 86.
Πνύξ. ἐν Πυκνί III, 34. ἐν τῇ Πυκνί I, 81. 82.
Ποινή I. 191. Ποιναί I, 190.
Πόλλις III, 222.
Πολυφόντης II, 71.



Πόντος. Νύμφαιον τὸ ἐν τῷ Πόντῳ III, 171.
Ποσειδῶν. Ποσειδῶνα ep. XI, 8. νὴ τὸν Ποσειδῶ I, 73.
Πριηνεύς. τὸν Ἐρετριᾶ καὶ Πριηνέα II, 116.
Προναία. Ἀθηνᾶ Πρ. III, 108. 110. 111. 121.
Πρόξενος ὁ στρατηγός II, 133. 134.
Πτολεμαῖος II, 29.
Πυθία, ἡ III, 108. 130.
Πύθιος. τῷ Ἀπόλλωνι τῷ Πυθίῳ III, 108. τὰ Πύθια III, 254.
Πύθων (Βοιωτός) II, 143.
Πύθων. ὁ Βυζάντιος Π. II, 125.
Πύλαι II, 103. 107. 114. 130. 132. III, 80. 126. 128.

Ῥαμνούσιος. Τισίας ὁ Ῥ. I, 157. Φρύνων ὁ Ῥ. II, 12.
Ῥόδιος. εἰς ἐπίνειόν τι τῆς Ῥοδίας ep. I, 4. ὁ δῆμος ὁ τῶν Ῥοδίων ἢ Χίων III, 42.
Ῥόδος III, 252. ep. I, 5. V, 1. VI. XI, 3. XII, 9. 11.

Σαλαμίνιοι. ἐν τῇ ἀγορᾷ τῶν Σαλαμινίων I, 25.
Σαλαμίς. εἰς Σαλαμῖνα I, 25. III, 158. τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας II, 74. 172. τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα II, 75. [ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ] III, 181.
Σάμος I, 53. III, 152.
Σάτυρος ὁ κωμικὸς ὑποκριτής II, 156.
Σειρῆνες, αἱ. III, 228.
Σικελία II, 10. 76.
Σίσυφος. ὁ Σ. ὅδε (Demosthenes) II, 42.
Σκάμανδρος, ὁ. ep. X, 3. 4. 6. 9. ὁ Σκάμανδρος Κίμων ep. X, 5. Σκάμανδρε ep. X, 3. 5.
Σκίρων ep. I, 1.
Σκύθης III, 172. τῷ λογογράφῳ καὶ Σκύθῃ καλῷ ὄντι II, 180. ἐν Σκύθαις III, 128. τριακοσίους τοξότας Σκύθας II, 173. τοὺς Σκύθας III, 129. ἐκ τῶν νομάδων Σκυθῶν II, 78.
Σκύθις III, 172.
Σκῦρος II, 72. 76.
Σόλων Ἀθηναῖος III, 108. τὴν Σόλωνος εἰκόνα I, 25. τοῦ Σόλωνος σχήματος I, 25. Σόλωνα τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν III, 257. ὁ Σόλων I, 25. 26. III, 2. ὁ Σ. ἐκεῖνος I, 6. ὁ Σ. ὁ παλαιὸς νομοθέτης III, 175. ὁ Σόλων ὁ — ἐνδοξότατος I, 183.
Σουνιεύς. Διοπείθης ὁ Σ. I, 63.
Σοφοκλῆς ep. V, 5.
Σπάρτη, ἡ. I, 180. II, 133.
Στειριεύς. [Ἡγήσανδρος Διφίλου Στ. I, 68.] Θρασύβουλον τὸν Στειριέα III, 195.
Στέφανος II, 140.
Στρατοκλῆς ὁ ἡμέτερος στρατηγός III, 143.
Στρέψα II, 27.
Στρυμών. ἐπὶ τῷ Στρυμόνι ποταμῷ III, 183. (Στρυμόνος ἀμφὶ ῥοάς III, 184.)
Στρόμβιχος. Εὔκρατος ὁ Στρομβίχου υἱός II, 15.
Σφήττιος. Φαῖδρος Καλλίου Σφ. I, 43. Ἀρίγνωτος ὁ Σφ. I, 104. Μεταγένης ὁ Σφ. I, 100.
Σφηττοῖ I, 97.
Σωκράτης ὁ σοφιστής I, 173.

Ταμύναι. ἡ ἐν Ταμύναις μάχη II, 169. III, 88. εἰς Ταμύνας III, 86.
Ταυροσθένης. Μνήσαρχος ὁ Χαλκιδεὺς ὁ Καλλίου καὶ Ταυροσθένους πατήρ III, 85. 87.
Τεμενίδης ὁ ταξίαρχος II, 169. ὁ Τ. 170.
Τενέδιος. Ἀγλαοκρέων ὁ Τ. II, 20. 126.
Τεύθρας ep. V, 2.
Τιμαῖος [Γλαύκων Τιμαίου Χολαργεύς I, 66.]
Τίμαρχος. [τὸν Τ. τὸν Ἀριζήλου I, 68.] Τίμαρχος ὁ — I, 120. 185. ποῖος Τ. I, 130. ὁ νυνὶ κρινόμενος Τ. I, 157. Τ. οὑτοσί I, 1. 11. 25. 26. 34. 39. 41. 42. 43. 47. 50. 51. 53. 64. 89. 93. 103. 111. ὁ Τιμάρχου πατήρ I,

102. 189. οἱ τρόποι οἱ Τιμάρχου I, 8. 37. 74. 82. 158. ὦ Τίμαρχε I, 122. — ὁ Τ. I, 60. τὸ σῶμα τοῦ Τ. I, 55. Praeterea Τίμαρχος sine articulo II, 144. 180. ep. VII, 3. XII, 2. et in timarchea, si suspecta 50. 66. 68. et locus corruptus §. 100. omittuntur, septies et tricies scriptum est, cf. I, 103.
Τίμαρχος Tisiae filius I, 157.
Τιμαρχώδης. πόρνους μεγάλους Τιμαρχώδεις I, 157.
Τιμησίθεος ὁ δρομεύς I, 156.
Τιμόθεος ὁ Κόνωνος II, 70. Τιμ. I, 95.
Τισίας ὁ Ῥαμνούσιος I, 157.
Τολμίδας. τὴν Τολμίδου στρατηγίαν II, 75.
Τροία, ἡ. I, 143.
Τρῳάς, ἡ. ep. X, 3.
Τρωικός. (Τρωικὸν ἄμ πεδίον III, 185.)
Φαῖδρος Καλλίου Σφήττιος I, 43. τὴν Φαίδρου μαρτυρίαν I, 50. τοῦ Φ. I, 43.
Φάλαικος ὁ Φωκέων τύραννος II, 130. 135. Φάλ. II, 132. 138. 140. ὁ Φάλ. II, 142.
Φαρσάλιος. Κόττυφος ὁ Φ. III, 128.
Φειδίας III, 150.
Φειδίας ὁ ἀδελφὸς τοῦ Μελησίου I, 157.
Φθιῶται II, 116.
Φιλάμμων ὁ πύκτης III, 189.
Φιλήμων ὁ ὑποκριτής I, 115.
Φιλῖνος ep. V, 6. ep. VIII.
Φίλιππος. αὐτὸς ὁ Φ. II, 34. 125. τὸν Ἀλέξανδρον καὶ Φίλιππον III, 223. ὁ Φ. I, 166. II, 21. 35. 38. 43. 48. 108. 128. 137. τοῦ Φ. II, 16. 17. 37. 85. 156. III, 63. 67. 68. 81. 256. τὸν Φ. I, 167. II, 41. 178. III, 215., ceteris locis, qui sunt centum viginti quattuor, et in ep. XII, 7. 11. sine articulo scriptum est.
Φιλόδημος ὁ Φίλωνος πατὴρ καὶ Ἐπικράτους II, 150. τῆς Φιλοδήμου θυγατρός II, 152.
Φιλοκράτης ὁ Ἁγνούσιος II, 13. III, 54. Φ. ὁ μεθ' ἡμῶν II, 52. ὁ μὲν, Φιλοκράτης III, 74. αὐτοῦ Φιλοκράτους II, 18. ὁ Φ. II, 14 (bis). 18. τὴν τοῦ Φιλοκράτους συνηγορίαν II, 109. τὸν Φ. II, 14 (bis). III, 81. Ceterum quinquies et tricies sine articulo positum est.
Φιλοξένη ἡ ἑταίρα I, 115.
Φιλοχάρης II, 149.
Φίλων II, 150. 151. 152.
Φιλωτάδης ὁ Κυδαθηναιεύς I, 114. Λευκωνίδην τὸν Φιλωτάδου κηδεστήν I, 115.
Φλιοῦς II, 168.
Φοῖνιξ Euripidis. ἐν τῷ Φοίνικι I, 152.
Φορμίων ὁ τραπεζίτης II, 165.
Φρύνων II, 8. Φρ. ὁ Ῥαμνούσιος II, 12.
Φρυνώνδας III, 137.
Φυλή III, 187. ὅσοι αὐτῶν ἐπὶ Φυλῇ ἐπολιορκήθησαν ib. τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς II, 176. III, 181. 187. 190. 195. 208.
Φωκεύς. Μνάσων ὁ Φ. II, 143. Φωκεῖς II, 130. 133. 134. 138. 140. ep. XII, 11. Φωκέων II, 44. 81. 130. 132. 142. 143. Φωκεῦσι II, 9. 131 (bis). 142. 162. III, 80. Φωκέας I, 175. II, 134 (bis). 140. (Φωκεῖς) II, 116.; contra οἱ Φωκεῖς II, 130. τῶν Φωκέων II, 135. III, 118. τοὺς Φωκέας II, 95. 133.
Φωκικός. ὁ Φ. πόλεμος III, 148. τοὺς Φ. ξένους III, 87.
Φωκίς. διὰ τῆς Φωκίδος III, 140.
Φωκίων II, 184. Φ. ὁ στρατηγός II, 170.

Χαβρίας III, 243.
Χαιρώνδας. ἐπὶ Χαιρώνδου ἄρχοντος III, 27.
Χαιρώνεια III, 55. 187. ἡ περὶ Χ. μάχη ep. XI, 8.
Χαλκιδεύς. Κλεοχάρης ὁ Χ. II, 120. Καλλίας ὁ Χ. III, 86. 89. 94. Μνήσαρχος ὁ Χ. III, 85. Χαλκιδεῦσι III, 92. Χαλκιδέας III, 92 (bis). οἱ Χ. III, 86.
Χαλκίς III, 89. 91. 94. 103.



Χαριγένης. Γνωσίδημος ὁ Χαριγένους υἱός III, 103.
Χαρίδημος III, 77.
Χάρης ὁ στρατηγός II, 92. ἐν τοῖς ἀγῶσι τοῖς Χάρητος II, 71. 73. τῆς Χάρητος ἐπιστολῆς II, 90.
Χαρμόλας. παρὰ τοῦ τραπεζίτου Χαρμόλα ep. VI.
Χερρόνησος II, 72. 73. 82. 175.
Χίλων ὁ Λακεδαιμονίων ναύαρχος II, 78.

Ψαμαθοῦς ep. I, 3.

Ὠρείτης. Ἀναξῖνος ὁ Ὠ. III, 223. οἱ Ὠρεῖται III, 100. 101. 103. 104. 105.
Ὠρεός II, 89. 93. III, 94. 100. 103. 224.
Ὠρωπός III, 85.

---

Berolini apud Weidmannos (I. Reimer).

Lipsiae typis J. B. Hirschfeld.